μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. Ἢν δέ οἱ [1] ἡ κάθαρσις ἄνω ὁρμηθεῖσα κατὰ τὸ στόμα μὴ ἔλθῃ, μηδὲ ἐς τὸν πλεύμονα τράπηται, τρέψεταί οἱ [2] ἐς τὸ πρόσωπον τὰ λοχεῖα, καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρέη, οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ, [3] καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφέων αἷμα ῥεύσεται λεπτόν· καὶ ἐκ τῶν ῥινῶν [4] ἔστιν ᾗσιν αἷμα ῥέει, καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται· τοῖσί [5] τε οὔασιν οὐκ ὀξέως ἔστι τὸ ἀκούειν ἐκ τῆς νούσου· καὶ [6] καρδιώξει, καὶ ἐρεύξεται, καὶ ἀλλοφάσσει, καὶ παράνοιαι γίνονται μανιώδεες· ἔστι δ' ᾗσι θράσος ὀμμάτων ἰλλωδέων· καὶ [7] τἄλλα πάντα πονήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα, ὡς εἴρηται, ἢν ἡ κάθαρσις τράπηται, πλὴν οὐ βήξει οὐδὲ πτύσεται τοιαῦτα, οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. Μελεδαινομένη μὲν ἥδε ὑγιαίνει· οὐ πολλαὶ [8] δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι· ἢν [9] δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται ὀφθαλμῶν ἢ ἀκοῆς τὸ ἐπίπαν. Ἀμφὶ τῆσδε τῆς νούσου ὧδε τελευτῇ.

42. Ἢν [10] ἐκ τόκου ῥόος λαμβάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμείνῃ, ἀσταφίδα μέλαιναν καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψας, οἴνῳ διεὶς μελανιχρόῳ, τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπιπάσας, εὔκρητον δίδου.

43. Ἢν [11] δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τοῦ ἥπατος θρὶξ τέτρωται, καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην σπᾶται. Ταύτην χρὴ λούειν πολλῷ θερμῷ, καὶ τῶν γλιασμάτων ἃ μάλιστα προσδέ-

[1] Ἡ DHIJK. – ἡ om. vulg. – ἀνορμήσασα (ἄνω ὁρμήσασα C; ἄνω ὁρμιθεῖσα θ) vulg. – τὸ om. Cθ. – μηδ' Cθ. – ἡ δὲ pro μηδὲ L. – εἰς vulg. – ἐς Cθ. – πλ. CIJθ, Lind. – πν. vulg. — [2] εἰς DK. – λόχια CDJ. – καί οἱ ἐρ. κάρτα ἔσται Cθ. – βαρείη vulg. – βαρέη θ. – Ante οὐδὲ addit καὶ J. – οὐδὲ κινῆσαι ἄτερ πόνου οἵη τε Cθ. – αὐτὰ pro αὐτὴν Ald. — [3] Ante καὶ addunt ἢν δὲ DFGHIJK, Ald. – οἱ om. C. – ἡ pro οἱ Ald. – ἐρυθροὶ om. (D, restit. al. manu post ἔσονται) FGHJ, Ald. – ἔσοιντο (sic) J. – σφῶν vulg. – σφέων θ. – ἐρεύσεται (sic) θ. — [4] ἔστιν (ἔστι δ' DGHIK) οἷσιν (ᾗσιν DFGHIJKθ) (ἐς τὴν ἴησιν C) αἷ. ῥεῖ (ῥέει C) vulg. – καί τ' ἢν τοῦτ' εἴη C. — [5] δὲ pro τε Cθ. – οὐκ ὠκέως εἰσακούει θ. – ὀξέος Ald. – ἀκοῦσαι sine τὸ C. – ἐν τῇ νούσῳ (νόσω HIJK) vulg. – ἐκ τῆς νούσου θ. — [6] καρδιώσσει θ. – ἀλλοφρονήσει vulg. – ἀλλοφάσσει θ. – παράννοιαι G. – παράνοια C. – γίγν. C. – δὲ C. – οἷσι FHI, Ald., Frob. – θάρσος θ. — [7] τὰ ἄλλα C. – πον. πάντα J. – ὅπως θ. – πν. DFGHJK. – πτύσσεται DJ. – μελεδ. δὲ ὑγιαίνει vulg. – καὶ μελεδ. ὑγιαίνει θ. – μελεδ. μὲν ἥδε ὑγιαίνει C. — [8] δ' θ. — [9] δ' DFGHIJK, Ald., Cordæus. – ἄρα θ. – περιγίγνηται C. – ἔσται οἱ ἢ τύφλωσις (ὀφθαλμῶν ἢ ἀκοῆς pro οἱ ἢ τ. Cθ) vulg. – τουπίπαν J. – τῆσδε om. C. – τῆς om. θ. – νόσου vulg. – νούσου FHIJKθ, Lind. – αἱ δε

Si la purgation lochiale, s'étant portée en haut, ne s'échappe pas par la bouche et ne se tourne pas non plus sur le poumon, elle se tournera sur le visage, qui deviendra très-rouge, la tête sera pesante, et la femme ne pourra la mouvoir sans douleur; les yeux seront très-rouges, et il s'en écoulera du sang ténu. En quelques cas, du sang s'échappe par les narines, et, quand il en est ainsi, la maladie a une durée plus longue. Dans cette affection, l'ouïe devient dure; il y a de la cardialgie, des éructations, du délire, des transports maniaques; en quelques cas, les yeux sont égarés et convulsés. La femme éprouve toutes les souffrances qui surviennent, comme il a été dit, quand la purgation se tourne sur le poumon, si ce n'est qu'elle ne tousse pas et ne crache pas de même; elle ne souffre pas, non plus, dans le dos. Traitée, elle guérit; toutefois les chances de guérison ne sont pas nombreuses; et si elle réchappe, il restera, en général, cécité ou surdité. C'est ainsi que se termine cette maladie.

42. (*Diarrhée après l'accouchement et remèdes.*) Si après l'accouchement (de la Nature de la Femme, § 51) il survient de la diarrhée et que les aliments ne demeurent pas dans le ventre, prenez du raisin sec noir et le dedans d'une grenade douce, pilez, délayez dans du vin noir, ratissez du fromage de chèvre, saupoudrez avec de la farine de blé grillée, et donnez à boire bien mélangé.

43. (*Hématémèse après l'accouchement, attribuée à une lésion du foie; traitement.*) Si la femme vomit du sang après l'accouchement (de la Nature de la Femme, § 52), le lobe du foie est blessé; de la douleur gagne les viscères, et

(sic) pro ὧδε J. – τελευτᾷ CFL, Lind. – τελευτὴ Cordæus. – τελευταὶ DHIJKθ. — [10] δ' ἐκ θ. – λαμβάνει CH. – γαστρὶ μείνῃ vulg. – γαστρὶ μὴ ἐνμένῃ θ. – χρὴ (χρὴ om. θ) μέλαιναν vulg. – τἄνδον Cθ. – τρῖψαι vulg. – τρίψας θ. – οἴνῳ διεὶς (οἰνωδίης sic C) ἐν μέλανι χρῶ (μελιχρόῳ pro ἐν μ. χρῶ C, θ μελανιχρῶ) vulg. – ἢ τυρὸν D. – αἴγιον C. – πύρρινα FGIK. – πεφρυγμένα FI. – ἐπίπασαι (ἐπιπάσσαι FG; ἐπίπασσε CJL; ἐπιπάσας θ) καὶ (καὶ om. θ) εὔκρ. (ἄκρητον C) vulg. — [11] δὲ om. C. – ἐμέῃ CDHKθ. – τοῦ ἥπ. om. L. – ἡ σύριγξ (θρὶξ pro ἡ σ. θ) vulg. – καρδίαν vulg. – καρδίην Jθ.

γεται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας ἢ πέντε· μετὰ δὲ [1] ταῦτα [2] πιπίσκειν βοὸς μελαίνης γάλα ἄσιτον ἐοῦσαν, εἰ [3] οἵη τε εἴη, ἡμέρας τεσσαράκοντα· ἐς δὲ τὴν ἑσπέρην σήσαμον τριπτὸν πιπίσκειν. Ἡ δὲ νοῦσος κινδυνώδης.

44. Τὸ δὲ γάλα [4] ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ καὶ τἄλλα παραπλησίως. Ἢν [5] δὲ γάλα σβεσθῇ, πράσα τρίψας, διεὶς ὕδατι, δίδου πιεῖν· [6] καὶ τῷ θερμῷ λουέσθω· [7] καὶ πράσα καὶ κράμβην ἐσθιέτω· συνεψεῖν δὲ [8] καὶ κυτίσου φύλλα, καὶ τοῦ χυλοῦ ῥοφέειν· πιπίσκειν δὲ τοῦ μαράθρου τὸν καρπὸν καὶ τὰς ῥίζας, καὶ κριθὰς ἐπτισμένας καὶ βούτυρον ἑψήσας ὁμοῦ [9] καὶ ψύξας, δίδου πίνειν. Ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον καὶ κύτισος· ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιέει καὶ [10] αὔξει· σκυρίαι αἶγες, τυροὶ δὲ μάλιστα· ἀγαθὸν καὶ τὸν ἐλελίσφακον ἑψεῖν, [11] ἀρκευθίδων ἢ κεδρίδων ἀποχέουσα τὸν χυλὸν [12] καὶ οἶνον ἐπιχέουσα πινέτω, καὶ ἐς τὰ λοιπὰ ἔλαιον [13] ἐπιχέουσα ἐσθιέτω· καὶ τῶν δριμέων καὶ [14] τῶν ἁλμυρῶν καὶ ὀξέων καὶ ὠμῶν λαχάνων πάντων εἰργέσθω. Τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον ἀγαθόν· καὶ γὰρ τὸ γάλα καθαίρει· καὶ τῷ θερμῷ [15] λουέσθω, καὶ ἀπόθερμον πινέτω. Καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν· [16] καὶ γάλα πουλὺ ποιέει τεύτλου χυλὸς καὶ

[1] Ταῦτα om. θ. — [2] π. om. DFG (H, restit. al. manu) IJL. – ἀσιτεύσασα vulg. – ἀσιτήσασα Lind. – ἄσιτον ἐοῦσαν θ. — [3] οἵη F. – οιηται (sic) θ. – μ vulg. – τεσσαράκοντα CDHIJKθ. — [4] ὅπως θ. – γίνηται vulg. – γίνεται Jθ. – γίγνεται C. – φύσει pro γεν. L, Lind. – τὰ ἄλλα C. – παραπλ. om. Cθ. — [5] δὲ θ. – δὲ om. vulg. – πράσσα I – πράσω C. – διείς τε (τε om. Cθ) vulg. – πίνειν θ. — [6] καὶ ἐν (τῷ pro ἐν Cθ) θ. vulg. — [7] καὶ εἰς βρῶσιν (εἰς βρ. om. C) πράσα (πράσσα C) vulg. – συνέψειν C. — [8] καὶ om. Cθ. – κυτισοῦ F. – κυτίσσου D. – κυτισσοῦ CJK. – τὸν χυλὸν Cθ. – ῥοφεῖν θ. – πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθρου (μαράθου FGHIJKL), καὶ τοῦ ἀπὸ τῶν μαραθρείων (μαραθείων FGIJ, Ald.; μαραθρίων D; μαραθίων HKL) ῥιζῶν, καὶ κριθὰς vulg. – πιπίσκειν δὲ τοῦ μαράθρου (μαράθου θ) τὸν καρπὸν καὶ τὰς ῥίζας, καὶ κριθὰς Cθ. – ἐπτισμένας Fθ. – ἐπισμένας (sic) C. — [9] καὶ om. Cθ. – δὸς πιεῖν C. – πιεῖν θ. – ἱππομάραθον CFGHIKL, Ald. – κυτισὸς DJ. – κύτισσος D. – κυτισσὸς CK. – πάντα ταῦτα C. – πολὺ θ. — [10] ἄξει FGIJL, Vatic. Codd. ap. Foes in not., Ald. – ἄγει Lind. – ἄξει σκύρται· ἀγέστεροι δὲ (sic) C. – ἐξισκυριαι αιγες, τῦροι δὲ (sic) θ. – σκύριαι J. – σκυαῖγες (sic) pro σκ. αἶγες L. – Phrase probablement altérée, mais où je n'ai rien pu trouver qui me satisfît. – μάλιστα ἀγαθόν· ἀλλὰ καὶ vulg. – μάλιστα· ἀγαθὸν καὶ Cθ. – ἕψειν C. — [11] ἢ ἀπὸ (ἀπὸ om. θ) τῶν (ἢ ἀπὸ τῶν om. C) ἀρκ. (ἀρκευθιδίων C) vulg. – ἢ κεδ. om. θ. – Voy. le passage parallèle, de la Nat. de la Femme,

des spasmes saisissent le cardia. En ce cas, laver avec beaucoup d'eau chaude, appliquer les fomentations qui sont le mieux reçues, et donner à boire du lait d'ânesse pendant sept jours ou cinq; ensuite prescrire du lait de vache noire, à prendre à jeun, si elle peut, pendant quarante jours. Le soir, elle boira du sésame broyé. Cette maladie est dangereuse.

44. (*Moyens pour rappeler le lait supprimé.*) La formation du lait a été expliquée par moi dans la production de l'enfant, lors de l'accouchement, et le reste semblablement (de la Nature de l'Enfant, § 21). Si le lait (de la Nature de la Femme, § 93) se supprime, pilez des poireaux, trempez avec de l'eau, et donnez à boire. La femme se lavera aussi à l'eau chaude; elle mangera des poireaux et du chou; on y fera cuire dedans des feuilles de cytise, et elle boira cette eau. On donne en boisson la graine et la racine du fenouil, l'orge mondé, le beurre, qu'on fait cuire ensemble et qu'on laisse refroidir. Il est bon encore d'administrer l'hippomarathron (*anethum segetum*), et l'hipposelinon (*smyrnium olusatrum*), et le cytise. Tout cela ensemble rend le lait abondant, les chèvres de Scyros, et les fromages surtout. Il est bon encore de faire cuire de la sauge, d'ajouter des baies d'arkeuthos (*juniperus phœnicea*) ou de cedros (*juniperus oxycedrus*), transvaser, ajouter du vin et boire; pour ce qui reste, elle y versera de l'huile et mangera. Elle s'abstiendra de ce qui est âcre, salé, acide et de tous les légumes crus. Le cardame (*erucaria aleppica*), pris dans du vin, est bon; car il provoque le lait; elle se lavera à l'eau chaude et boira l'apothermon (*sorte de boisson*). Donnez à boire le fruit du vitex dans du vin. Abondance de lait est produite aussi par la décoction de

§ 93. – Ante κε. addit τῶν D. – κεδρίνων DFHIJK, Ald. – κεδρίων C. — [12] καὶ om. θ. — [13] ἐπιχέασα θ. — [14] τῶν om. J. – Ante ὀξέων addit [τῶν] Lind. – δὲ om. J. – γὰρ om. C. — [15] λούσθω FIJK. – ἀπὸ θερμῶν θ. – αινου (sic) pro ἄγνου θ. — [16] γαλα πολὺ ποιεῖ (ποιέει θ) (addit καὶ θ) τεύτλου χυλὸς καὶ σ. ἀπ' αὐτοῦ C (θ, ἀπ' αὐτοῦ). – καὶ ὁ χυλὸς τοῦ τεύτλου γάλα πουλὺ ποιεῖ πινόμενος (πινόμενον H) καὶ σ. ἀπ' αὐτοῦ vulg. – τριμηνιέων CFGIJ, Ald., Frob. – εἰς C. – θυίαν CDFGHIJKθ, Ald., Frob., Cordæus, Lind.

σησάμου ἀπλύτου καὶ κριθέων τριμηνιαίων, ἐμβαλὼν ἐς θυείαν, τρίψας πάντα, δι' [1]ὀθονίου ἐκχυλίσας, παραμίξας μέλι ἢ ἀμαμηλίδας, εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν.

45. [2]Ὅταν γυνὴ τέκῃ καὶ τοῦ ὑστέρου ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθὰ ἢ ὀπτὰ ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πουλυποδίων καὶ σηπιδίων ἐπ' ἀνθράκων, ὅ τι ἂν βούληται τουτέων· [3]κάστορα δὲ ἢ νάρδον πινέτω· πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ, νῆστις ἢ ἄνευ οἴνου· ἢν δὲ μὴ γλυκὺς ᾖ, ἄμεινον μέλι παραμίσγειν· [4]καὶ κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ καὶ λινοζώστει, καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν. Ἢν δὲ [5]θορυβώδης ᾖ καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γένηται, διδόναι πράσα ἑφθὰ, καὶ ὅσα ἄγρια καὶ ἥμερα· λιπαρὰ δὲ ποιέειν ἅπαντα· λούεσθαι δὲ [6]καὶ διὰ τρίτης ἡμέρης ἐν εὐδίῃ, [7]τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον· καὶ μετὰ τὸ λουτρὸν ἐπαλείφειν· ἄμεινον μὴ πολλῷ θερμῷ χρῆσθαι.

46. Ὅταν τὸ ὕστερον μὴ αὐτίκα [8]ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι [9]καὶ ἐν κενεῶσι, καὶ ῥίγεα καὶ πυρετοί· κἢν ἀπαλλάσσηται τὸ ὕστερον, ὑγιαίνει καὶ ἡ γυνή· σήπεται δὲ ἐπὶ τὸ πουλύ· [10]ἀπαλλάσσεται δὲ ἑκταίῃ ἢ ἑβδομαίῃ [11]ἢ καὶ ἀνωτέρω ἔτι. Τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω, καὶ πνεῦμα κατ-

[1] Ὀθονίου τὸν χυλὸν ἐπιχέας (ἐπιχέουσα FGHIJ, K ἐπιχέων, Ald.) καὶ (καὶ om. FGHIJK) (τὸν χ. ἐπ. καὶ om. Cθ) ἐκχυλίσας (ἐκχυλήσας C) παραμίξας (παραμάξας C) δὲ καὶ (δὲ καὶ om. Cθ) μέλι vulg.–. εἶτ' ἐν C. – πιεῖν C. – Gal. Gl. : ἀμαμηλίδας, εἶδός τι μεσπίλου πλεῖστον ἐν Ἰταλίᾳ γενόμενον, ὡς καὶ Διοσκουρίδης λέγει· τινὲς δὲ τὰς ἐπιμαλίδας φασὶν εἶναι μῆλα σμικρὰ ἄγρια. — [2] ὅταν γὰρ γυνὴ DLQ'. – Post ὅταν addit τοίνυν K. – γὰρ pro γυνὴ FG (H, γυνὴ al. manu) J. – μὴ (μὴ om. θ) ἀπαλλ. vulg. – Ante καθ. addit καὶ J. – λόχια CD. – λοχία J. – ὀπτὰ ἢ ἑφθὰ C. – πολυποδίων C. – σιπιδίων FI. – σηπίων θ. – σιπυδίων J. – ἐπ' ἀνθρ. (ἀπανθράκων Cθ) δὲ (δὲ om. Cθ) ὅ τι ἂν (ἢν pro ἂν C) β. τ. (τ. δὲ ὅ τι ἂν β. Lind.) vulg. — [3] ἢ κάστορα sine δὲ Cθ. – πινέτω om. θ. – πίνειν om. C. – ἢ pro δὲ καὶ θ. – καὶ om. C. – νῆστιν θ. – γλυκὺς ὁ οἶνος ᾖ vulg. – γλυκὺς ἢ C (θ, ἢ γλυκύς). — [4] καὶ θ. – καὶ om. vulg. – λινοζωστι (sic) θ. – λίνω ζωστὴ (sic) C. – σπερμάτων C. – τι om. CK. — [5] θορυβοθῇ θ. – νιαίρῃ θ. – νειέρῃ FGIK, Ald., Frob. – τῇ νειαιρῇ γ. Lind. – τῇ om. C. – πράσσα C. — [6] καὶ om. Cθ. – εὐδία K. – εὐδείῃ C. — [7] ψύχος (ψῦχος θ) γὰρ sine τὸ Cθ. – ταύτῃσιν om. (D, restit. al. manu) FGHJL. – ὑπαλείφειν vulg. – ἐπαλείφειν C. – ἐπαλίφειν θ. – Post ἄμ. addunt δὲ Lind.; καὶ J. – χρῆσθαι om. Cθ. — [8] ἀνίῃ C. – τῆς om. (D, restit. al. manu) H. – νιαίρης θ. – νειαιρῆς Lind. – νειέρης FK, Ald., Frob., Cordæus. – νειε-

bette, de sésame non lavé et d'orge de trois mois ; on jette dans un mortier, on pile le tout, on extrait le jus à travers un linge, on mêle du miel ou des amamélides (*sorte de sorbe ou de poire*, voy. note 1); puis on donne à boire dans du vin noir.

45. (*Moyens pour faire bien couler les lochies.*) Quand une femme ayant accouché est délivrée des secondines, il vaut mieux donner ce qui évacue surtout les lochies : de l'ail bouilli ou grillé, dans du vin et de l'huile, avec de petits poulpes et de petites sèches sur des charbons, celui des deux aliments qu'elle voudra ; elle boira du castoréum ou du nard ; elle boira aussi de la rue dans du vin noir doux, à jeun ou sans vin ; s'il n'y a pas de vin doux, il vaut mieux y mêler du miel. Prendre aussi du chou cuit avec de la rue et de la mercuriale, et boire quelques-unes des graines qui sont bonnes pour l'utérus. Si les lochies se coagulent et causent de la douleur dans le bas-ventre, donner des poireaux bouillis, et ce qui est sauvage et cultivé ; il faut tout préparer au gras ; la femme se lavera tous les trois jours par un temps chaud ; car le froid est nuisible en ce cas ; après le bain, elle s'oindra ; il vaut mieux ne pas user de beaucoup d'eau chaude.

46. (*Moyen pour faire sortir l'arrière-faix. L'auteur explique comment il est quelquefois retenu.*) Quand l'arrière-faix ne s'en va pas aussitôt après l'accouchement, il survient des douleurs au bas-ventre et aux flancs ; frissons, fièvres ; quand l'arrière-faix s'en va, la femme guérit ; il se corrompt le plus souvent ; il s'en va le sixième jour, ou le septième ou même plus tard. Dans ce cas, il faut donner les remèdes que j'écrirai, et retenir la respiration. Ce qu'il y a de mieux, c'est l'armoise, le dictame, la fleur de violette blanche (*chei-*

ρῆς GI. - γίγν. C. — [9] καὶ θ. - καὶ vulg. - κενεῶνι θ. - κἂν C. - καὶ pro κῆν θ. - Ante ὑγ. addunt καὶ Cθ. - ὑγιαίνη C. - δὲ πουλὺ (πολὺ C; ἐπὶ τὸ πολὺ θ) vulg. — [10] ἀπαλάσσεται K. - ἀπαλλάσσηται C. — [11] ἢ om. Cθ - καὶ om. (D, restit. al. manu) FGHIJK. - ἀνωτέρω ἐπὶ (ἔτι C) τῇ vulg. - χρὴ om. Cθ.

ἔχειν· ἄριστον [1] δὲ πάντων ἀρτεμισίη βοτάνη, καὶ δίκταμνον, καὶ λευκοίου ἄνθος· καὶ ὀπὸς σιλφίου, κράτιστον ἐν ὕδατι πινόμενος ὅσον κύαμος ἑλληνικός. [2] Ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν· κἄπειτα πέταλα τῆς ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι καὶ ἔλαιον ἐπιχέας, χλιάνας, δίδου πίνειν ὅσον κοτύλην, [3] καὶ ἔξεισιν. Ἢν [4] δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο [5] δὲ γίνεται, ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλὸς ἢ ἀμαθίῃ ὑποτάμῃ [6] ἡ ὀμφαλητόμος τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, αἱ [7] μῆτραι ἀνασπῶσι τὸ ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν καὶ χεόμενον, καὶ κατίσχουσιν ἐν ἑωυτῇσι· τέταται γὰρ τὸ χορίον ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου, καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων· ἢν γὰρ πρότερος [8] ἐξίῃ, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφὴ, ὅτι ἐξήρτηται ἐξ αὐτέου.

47. Ὅταν [9] δὲ ἐν γαστρὶ ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον ἢ διμηνιαῖον ἐὸν, καὶ ἐξιέναι μὴ δύνηται, ᾖ δὲ λεπτὴ, ταύτης χρὴ [10] τηνικαῦτα καθῆραι τὸ σῶμα καὶ πιᾶναι· οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι καὶ εὐπηγέες.

48. [11] Ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσιν, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ, καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη, καὶ [12] περίψυξις γίνεται, καὶ πυρετὸς ὀξὺς, καὶ πόνος καθ' ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ, καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι, καὶ στροφὴ [13] ὡς ἐμβρύου

[1] Δ' ἐγὼ J. – πάντων οἶδα (οἶδα om. Cθ) ἀρτεμισίην (ἀρτεμησίην FG, Ald.; ἀρτεμισίης C; ἀρτεμισίη θ) βοτάνην (βοτάνη θ) καὶ δίκταμνον (δίκταμον H) (addit καὶ θ) λευκοίου ἄνθος, καὶ (καὶ om. C) ὀπὸν (ὀπὸς θ) σ. κρ. ἐν ὕδ. πινόμενον (πινόμενος θ) vulg. — [2] καὶ (καὶ om. Cθ) ἢν vulg. – ἀποφεύγειν Cθ. – ἀσιτεῖν κἄπιτα θ. – τρίψαι θ. – ἐπιχέειν C. – ἐπιχεῖν καὶ χλιήραντα (sic) διδόναι θ. – δὸς πιεῖν C. — [3] καὶ om. C. – ἔξισιν θ. — [4] δὲ om. θ. – τι pro τὸ IK. – χορίον τι pro τὸ χ. G. – τι χόριον DJ. – χόριον C. – χωρίον H. – ἐλειφθῇ (sic) FGI. – ληφθείη C. – ἐνλιφθῇ θ. – τῇ μήτρῃ θ. — [5] δὲ ὧδε (ὧδε om. C) γίν. (γίν. ὧδε DFIJK) vulg. – βίῃ om. θ. — [6] ἢ FJ. – ἡ om. C. – ὀμφαλιτόμος FGHIK, Ald., Frob. – ὀμφαλοτόμος J. – ὀμφαντόμος (sic) C. – ὀμφαλητομοσιον (sic) ὀμφαλὸν θ. – πρόσθεν ταμοῦσα πρὶν (τα. πρὶν om. Cθ) ἢ (ἢ om. C) vulg. – χόριον CD. – χωρίον HK. — [7] μῆτραί τε (τε om. θ) vulg. – τὸ CDHIKθ, Cordæus, Lind. – τὸ om. vulg. – κατισχνοῦσιν vulg. – κατίσχουσιν, CHI, Cordæus, Lind. – κατισχοῦσιν JLθ – ἐν om. θ. – χόριον CDJ. – χωρίον H. – ἔξισιν θ. — [8] ἐξίοι vulg. – ἐξείη Kθ. – ἐξίῃ DJ. – δι' om. C. – διέλθῃ D. –

ranthus); bu dans l'eau, gros comme une fève grecque, le suc de silphion est très-puissant. Si l'arrière-faix ne peut pas sortir, garder l'abstinence; puis piler les feuilles du vitex dans du vin et du miel, verser de l'huile, faire tiédir, et donner à boire à la dose d'une cotyle (0^{litre},27); l'arrière-faix sort (de la Nature de la Femme, § 56). Le chorion demeure dans la matrice; cela arrive quand le cordon ombilical se rompt par une violence ou quand la femme qui le coupe le coupe, par ignorance, avant que le chorion soit sorti de la matrice; l'utérus attire en haut l'arrière-faix, qui est glissant et humide, et le retient en elle-même, car le chorion prend son origine au cordon ombilical de l'enfant; le cordon sort le dernier de la matrice; s'il sortait d'abord, ce ne serait pas lui qui conduirait la nourriture à l'enfant, parce qu'il y est suspendu.

47. (*Moyen pour faire sortir un fœtus mort à un ou deux mois.*) Quand chez une femme enceinte l'enfant meurt à un mois ou deux et ne peut sortir, si elle est maigre, il faut lui purger le corps et lui donner de l'embonpoint; car les embryons putréfiés ne sortent pas avant que la matrice soit forte et épaisse (Comp. de la Nat. de la F., § 19).

48. (*Chorion retenu, empêchant les lochies de couler.*) Quand le chorion est retenu, si la matrice n'a pas un orifice large, la purgation lochiale va moins qu'il ne faut, le ventre devient dur et gros; grand refroidissement, fièvre aiguë, douleur dans tout le corps et surtout à la région sous-ombilicale; un poids se fait sentir à la matrice, et des tranchées comme si un en-

διέλθοι om. θ. – ἡ τρ. τῶ π. Cθ. – καὶ ὅτι Cθ. – αὐτοῦ θ. — [9] δὲ om. Cθ. – διαφθείρῃ θ. – ἢ διμ. om. DK. – ἐὸν C. – ἐὸν om. vulg. – καὶ τὰ ὕστερα (τὰ ὕ. om. Cθ) ἐξ. vulg. – ἡ pro ᾗ Cθ. — [10] αὐτίκα Cθ. – καθήραι (sic) I. – πιάναι CGHIK. – ἐξείοισι (sic) C. – ἔμβρυα C (ὕστερα, θ). – ἐῶσι θ. – εὐπατέες (sic) θ. — [11] ἦν δὲ Kθ. – γυν. om. θ. – χόριον CDJ. – χωρίον H. – ἐλλεφθῇ (sic) C. – μὲν pro μὴ CDFHIJKθ, Ald. – αἱ μ. εὐρ. CDHIKθ. – ἐῶσι θ. – εἰσχωρέει FGIJK. – ἐσχωρέει D. – χωρέειν C. – ἐλάσσων C. – ἰσχυρὴ pro σκληρὴ θ. – γίγν. C. — [12] ψύξις (περίψυξις Cθ) ἔχει (γίνεται θ) vulg. – Post πυρ. addit μιν C. – κατὰ πᾶν θ. – βρίθος FI. – γίγν. C. – μήτραισι G. — [13] ἕως vulg. – ὡς CLθ, Cordæus, Lind. – μελανθεῖσα DFGIJK, Ald. – χόριον CDJ. – χωρίον HK.

ἐόντος, καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς, καὶ ὑγιαίνεται.

49. Ἢν [1] ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων ἄνθη ἰῆσθαι· διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. Ἢν [2] δὲ ἑλκωθῇ τὸ στόμα καὶ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον καὶ κηρὸν λευκὸν καὶ λιβανωτὸν λαγωῇσι θριξὶ τῇσιν ὑπὸ τὴν γαστέρα μίσγειν, καὶ προστιθέναι ἐν εἰρίῳ λεῖα ποιεῦντα.

50. Ἢν [3] ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς, καὶ ἀχλύς· ἐκ δὲ τῆς κοιλίης οὐδέκοτε ἐκλείπει [4] τὸ πῦρ· καὶ διψῇ, καὶ τὰ ἰσχία ἀλγέει, καὶ οἰδέει τὴν γαστέρα τὴν νειαίρην ἰσχυρῶς, καὶ ἡ κοιλίη ταράσσεται· ὑποχώρημα δὲ κακὸν [5] καὶ ὀζόμενον, καὶ λάζεται τὸ πῦρ σφοδρὸν, καὶ ἀσιτίη ἔχει, καὶ κατὰ τὸ βρέγμα ὀδύνη, καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία, καὶ ἀδυνατέει πέσσειν· καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, [6] αἱ πλεῖσται θνήσκουσιν, ἡ κοιλίη δὲ αἰτίη. Τῆς ἀκτῆς οὖν τὰ φύλλα ὡς ἀπαλώτατα ἐν πυρῶν κριμνοῖσιν ἑψήσας σιτανίοισιν, ἀκροχλίερον ῥοφέειν, [7] καὶ διδόναι μελίκρητον καὶ οἶνον ὑδαρέα, καὶ τὸ ἦτρον καταπλάσσειν τοῖσι ψυκτικοῖσι, σιτίον δὲ ὡς ἐλάχιστον προσφέρειν, καὶ τὴν γαστέρα ἵστασθαι, καὶ τὴν κεφαλὴν [8] ἰῆσθαι, ὑποχόνδριον δὲ καταπλάσσειν.

51. Μητρέων ποτόν· [9] ἢν ἀλγέῃ ἐκ τόκου, ὁκόταν ἀλγέῃ τὴν ἕδρην ἢ ἄλλο τι, ἀρκεύθου καρπὸν ἢ λίνου σπέρμα καὶ κνίδης τρίβειν, καὶ διδόναι πίνειν. [10] Ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην καὶ μέλι

[1] Δ' ἐκ θ. – ἄνθει DLθ, Cordæus, Lind. – ἰήσασθαι θ. – καὶ om. Cθ. — [2] δ' θ. – ἑλκεωθῇ CGHJK. – χοίρινον pro χ. C. – χοίριον Vatic. Codd. ap. Foes in not. – χηνὸς θ. – θρηξὶ G. – τριζιν (sic) C. – τὴν θ. – τὴν om. vulg. – λια (sic) θ. – ποιοῦντα vulg. – ποιέοντα θ. – ποιεῦντα C (H, al. manu). — [3] δ' ἐκ θ. – ἔχει βλ. τὸ σ. Cθ. – οὐδέποτε vulg. – οὐδέκοτε C. — [4] τὸ om. D. – νειαιραν (sic) θ. – νειαιρὴν Lind. – νειέρην FK, Ald, Frob., Cordæus. – νειερὴν GI. — [5] καὶ om. Cθ. – ἀσιτία Ald. – ἀποσιτίη θ. – ἀσιτιεῖ pro ἀ. ἔχει C. – ἃ pro οὐ C. – εἰρῦσαι θ. – εἰρῆσαι K. – σιτα (sic) θ. – ἀδυναταίει θ. – θεραπεύονται θ. — [6] ἀπλεισται (sic) pro αἱ πλ. θ. – αἱ πλ. om. J. – οὖν θ. – οὖν om. vulg. – ὡ (sic) pro ὡς C. – ἀπαλώτερα GHIJ. – ἁπαλότατα C. – ἐμπύρρων (sic) pro ἐν π. DFGHI. – ἐμπύρων CJK. – σηταν. Dθ. – ἀκροχλίαρον vulg. – ἀκροχλιερὸν Cθ. – ῥοφῆν θ. — [7] διδόναι τε καὶ vulg. – καὶ διδόναι Cθ. – μελίκρητα θ. – καταπλᾶσαι θ. – σῖτον Cθ. – δὲ om. C. – ἐσθίειν vulg. (F, in marg. eadem manu εἰσφέρειν). – προσφέρειν Cθ. – εἰσφέρειν D (H, al. manu προσφέρειν) IJKL, Lind. — [8] ἰᾶσθαι θ. – καταπλάσσειν καὶ (καὶ om. CDFGHIJKθ)

fant était dedans. Traitée, la femme expulse promptement le chorion putréfié, et elle guérit.

49. (*Ulcérations de l'utérus après l'accouchement; remèdes.*) Si, à la suite de l'accouchement, la matrice s'ulcère, on traitera avec la fleur de rosier; la femme fera aussi des injections astringentes (De la Nat. de la F., § 84). Si l'orifice s'ulcère et s'enflamme, prendre de la myrrhe, de la graisse d'oie, de la cire blanche, de l'encens, du poil de lièvre de dessous le ventre, mêler le tout, broyer et appliquer en pessaire dans de la laine (De la Nat. de la F., § 55).

50. (*Phlegmasie utérine après l'accouchement. Traitement.*) Si la matrice s'enflamme à la suite de l'accouchement, il y a fièvre légère et obscurité de la vue ; au ventre jamais la chaleur ne cesse ; la femme a soif ;douleur aux hanches ; la région hypogastrique est fortement gonflée, et le ventre se dérange. Les selles sont mauvaises et fétides ; la fièvre est intense ; anorexie ; douleur au bregma ; l'orifice de l'estomac ne peut attirer les boissons et les aliments ; et la digestion ne se fait pas. Si le traitement n'intervient pas aussitôt, la plupart succombent, et c'est par le ventre. Prendre des feuilles très-tendres de sureau et de la grosse farine de blé de trois mois, faire cuire et donner à boire tiède (De la Nat. de la F., § 57). Donner aussi de l'hydromel et du vin aqueux, appliquer des cataplasmes refroidissants sur le bas-ventre, manger aussi peu que possible, arrêter le flux de ventre, traiter la tête, mettre des cataplasmes sur l'hypocondre.

51. (*Différents moyens pour les souffrances de l'utérus après l'accouchement.*) Boisson pour la matrice : quand il y a douleur après l'accouchement, si la douleur se fait sentir au siége ou autre part, broyer la baie de l'arkeuthos (*juniperus phœnicea*), ou la graine de lin et d'ortie, et donner à boire. S'il y a

τῶν (τῶν om. CIHK0) μ. τόπον (ποτον sic 0) (καὶ τ. μ. τ. om. Ald.) vulg. — [9] ἦν ἀλγέῃ (ἀλυγέῃ sic C) ἐκ τόκου CFGIJK0. – ἦν.... τόκου om. vulg. – ὅταν 0. – ἀλλ' ὅτι 0. – λινουσπέρμου (sic) C. – λινούσπερμα 0. – κνιδέης C. – πινέτω pro διδ. π. C0. — [10] ἐκ τόκου ἦν 0. – τερμινθίνην 0. – χλιαρὸν vulg. – χλιερὸν C0. – χλ.... ἀλγέῃ om. J. – ῥύφειν (sic) 0.

καὶ οἶνον χλιερὸν διδόναι ῥοφέειν, καὶ ἢν φλεγμήνωσιν αἱ μῆτραι, τοῦτο παύσει. Ἢν [1]δὲ ἀλγέῃ τῶν μητρέων τόπον, ἀμυγδαλῆς τρίψας πικρῆς καὶ ἐλαίης τὰ ἁπαλὰ φύλλα, [2]καὶ κύμινον καὶ δάφνης καρπὸν ἢ τὰ φύλλα, καὶ ἄννησον καὶ ἐρύσιμον καὶ ὀρίγανον καὶ νίτρον, ταῦτα μίξας καὶ τρίψας λεῖα, κολλούρια ποιέειν μητρέων. [3]Ἢν φλεγμήνωσι καὶ ὀδύνη ἔχῃ, ῥόδων φύλλα, κινάμωμον, κασσίην τρίψας ἐν τῷ αὐτῷ λεῖα, ἐπιχέειν νέτωπον, καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον κυθρίδιον καινὸν διάπυρον ποιήσας, περικαθίσας, καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας· τοῦτο ὀδύνας παύσει.

52. Ἢν [4]δὲ ἐκ τόκου αἱ ὑστέραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ, ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη πυριφλεγέθης ἐστὶ, καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει, καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας, καὶ τὰ ὑποχωρεῦντα χολώδεα καὶ κάκοδμα· καὶ ἢν [5]μὴ σταθῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. Ὅταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ φρίξῃ· πινέτω [6]δὲ, ἢν μὴ ἵστηται, τὸ ἀπὸ τοῦ κρίμνου ἢ ἄρτου, ἢ ἄλητον· ῥοφέειν δὲ, σίδης οἰνώδεος τὸν χυλὸν κεράσας ὕδατι, ἐπίπασσε λέκιθον φακῶν καὶ τοῦτο ἕψει, [7]μίσγων φακὸν καὶ κύμινον καὶ ἅλας καὶ ἔλαιον καὶ ὄξος, τοῦτο διδόναι ῥόφημα ψυχρὸν, καὶ φακῆν ὀξέην, καὶ ἐπιπίνειν

[1] Δὲ μὴ (μηδὲ pro δὲ μὴ L) (μὴ δὲ pro μὴ CHK; μὴ om. θ) ἀλ. τι (τι om. C) τῶν μ., ποτὸν (τόπον Cordæus; τόπων Foes in not., Lind.) vulg. – ἀμυγδάλας vulg. – ἀμυγδαλῆς D. – ἀμυγδαλᾶς H. – ἀμυγδαλὰς K. – ἀμυγδάλης J. – ἀμύγδαλα C. – πικρὰς vulg. – πικρῆς D. – πικρᾶς CHIJθ. – καὶ ἐλαίης τὰ θ. – ἐλαίης τε (τε om. C) τὰ vulg. – ἀπαλλὰ F. — [2] καὶ κύμινον καὶ δάφνης καρπὸν ἢ τὰ φύλλα Cθ. – καὶ.... φύλλα om. vulg. – ἄνισον CDHJ. – ἄνησον K. – λίτρον μίξας ταῦτα πάντα λία θ. – κολλύρια Cθ. – κολ. π. μ. om. L. – κολλ.... λεῖα om. (D, restit. al. manu) FGHIJK. — [3] ἢν δὲ Lind. – καὶ κινν. θ. – κινν. CD. – κυνάμ. Ald. – καὶ (καὶ om. C) κασσ. (κασίην C) vulg. – λία θ. – ἐπιχεῖ vulg. – ἐπιχεῖν FGHILθ, Lind. – ἐπιχέειν C. – νέτωπον, in marg. ἀντὶ τοῦ ἀμυγδάλινον θ. – φθοϊκοὺς C. – τροχίσκους DQ'. – κυθρίδιον θ. – χυτρίδιον vulg. – κενὸν C. – περικαθίζειν Cθ. – περιστίλας θ. – ἱματίοις Cθ. – θυμιεῖσθαι C. – θυμιᾶσαι θ. – εἰς C. – παύει θ. — [4] δ' θ. – νιαιρα (sic) θ. – νειαιρὴ Lind. – νειέρη FK, Ald., Frob., Cordæus. – νειερὴ GI. – εἰς D. – ἀπιδέει C. – καὶ ἡ ὀδ. D. – ἔχει HK. – νιαραν (sic) θ. – νειαρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. – καὶ ἐς (ἐς om. θ.) τοὺς vulg. – ὑποχωροῦντα vulg. – ὑποχωρεῦντα C. – ὑποχωρέοντα θ. — [5] μὴ om. Cθ. – θνησκέτω τἄνω δὲ ἔχει ψύχειν τὴν C. – οὖν om. θ. – ἔχει H. – χρὴ om. θ. – ὅπως θ. – φρύξῃ D. — [6] δὲ om. C. – κρίμνου (κριμνοῦ θ; κριθμοῦ CD; κρηθμνοῦ FGHIJK, Ald.; κρηθμοῦ L, Vatic. Codd. ap. Foes in not.) (addunt ἢ

douleur après l'accouchement, donner à prendre de la térébenthine, du miel, et du vin tiède; et, si la matrice s'enflamme, cela l'empêchera. Si la région de la matrice est douloureuse, piler les feuilles tendres de l'amandier amer et de l'olivier, le cumin, les baies ou les feuilles de laurier, l'anis, l'erysimon (*sisymbrium polyceratium*, L.), l'origan, le nitre, mêler, piler fin, et en faire une injection pour la matrice. S'il y a inflammation et douleur de matrice, prendre feuilles de rose, cinnamome, cassia, piler fin ensemble, verser du nétopon, et faire des pastilles du poids d'une drachme, puis, ayant chauffé jusqu'au rouge un vase neuf en terre, faire asseoir la femme par dessus, la recouvrir de vêtements, et faire une fumigation vers la matrice; cela calmera les douleurs.

52. (*Souffrances de l'utérus après l'accouchement, avec fièvre. Traitement.*) Si la matrice souffre après l'accouchement, il y a une fièvre faible, mais à l'intérieur le bas-ventre est brûlant, et parfois du gonflement se manifeste à la hanche; de la douleur se fait sentir au bas-ventre et aux flancs; les déjections sont bilieuses et fétides; et, si le flux de ventre n'est pas arrêté, la femme meurt soudainement. Quand il en est ainsi, il faut refroidir le ventre tout en évitant de causer du frisson. Si la diarrhée ne s'arrête pas, elle boira la préparation au gruau, ou la préparation au pain, ou la farine; pour potage, elle prendra le jus d'une grenade vineuse, le coupera d'eau, le saupoudrera de farine de lentilles, et fera cuire, mêlant des lentilles, du cumin, du sel, de l'huile et du vinaigre; ce potage sera donné froid ainsi que la bouillie acide de len-

καὶ ἀπὸ τοῦ κρημνοῦ FGHI, J ἢ καὶ τὸ ἀπὸ τοῦ κρίμνου, K κριθμοῦ, LQ' sine καί)· τρωγέτω (ἢ pro τρ. Cθ; addit δὲ post τρ. Lind.) ἄρτον (ἄρτου HIJθ, Ald.; ἄρτον om. L, Lind.) (addit ἢ θ) ἄληπτον vulg. – ῥοφεῖν θ. – ἐπίπασσε δὲ (δὲ om. C) λεκίθῳ (λεκίθους Lind.; λεκίθου J; λέκιθον CHθ; λεκίνθω sic FGIK) φακὸν (ῶῶν Lind.; φακῶ C; φακῶν θ, Cornar.) καὶ (καὶ om. Cθ) τούτῳ (τοῦτο CFHJKLθ, Lind.) ἕψει (ἕψειν C; ἑψεῖν θ) vulg. — [7] καὶ μίσγειν C (θ, μίσγων). – ἅλα Cθ. – ἔλλιον (sic) θ. – φακῆν vulg. – φακῆν K. – ὀξείην vulg. – ὀξέην θ. – ὀξεῖαν C. – ἐπιπίνων vulg. – ἐπιπίνειν CFG, Cordæus, Lind. – ἐπὶ πίνειν Dθ. – εὐώδεα Cθ. – Ante πρ. addit μέλανα θ. – δ' C. – ἢ ὁ πυρετὸς pro ὁ π. λυθῇ Cθ.

οἶνον οἰνώδεα πράμνιον· τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ ἔστ' ἂν ὁ πυρετὸς λυθῇ· ἢν [1] δὲ δοκέῃ, καὶ λούεσθω· ἢν δὲ ἀσθενὴς ᾖ, πίνειν πάλην ἀλφίτων· ἢν [2] δὲ ἀκιδνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ· σιτίον [3] δὲ προσφέρεσθαι κοῦφον, ὅ τι μὴ ἰνήσεται, ὅταν τὸ πῦρ μεθῇ. Ἡ δὲ νοῦσος ὀξέη τε καὶ θανατώδης.

53. Ἢν [4] δὲ φλεγμήνωσιν αἱ ὑστέραι λεχοῖ, πίμπραται ἡ κοιλίη καὶ μεγάλη γίνεται, καὶ πρὸς τὰ ὑποχόνδρια πνὶξ ἔχει. Ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι, κόψαι δὲ ἐν [5] ὅλμῳ· καὶ ξυμμίσγειν ὠμήλυσιν καὶ σποδιὴν κληματίνην καὶ λίνον φώξαντα, [6] ἀλεῖν δὲ ταῦτα καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ, ποιέειν δὲ οἷον κυκεῶνα παχύν· ταῦτα ἑψεῖν [7] ἕως οἷον στέαρ γένηται, καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ, καὶ, ἢν χρήζῃ, ἐγκαθιννύσθω.

54. Ἢν [8] δὲ λεχοῖ φλεγμήνωσιν αἱ ὑστέραι, οἰδέουσι, καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην τείνονται, [9] γίνεται δὲ ἐπὴν πυκνωθέωσιν ὑπὸ ψύχεος. Ταύτῃσιν ἢν μὲν [10] ἐπιψύχωνται, ἀλεαίνειν· ἢν δὲ πυριφλεγέες ἔωσιν καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν ὅ τι φλεγμασίῃ ἐναντιοῦται, καὶ λούειν, καὶ πυριῆν, καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω, ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας.

[1] Δὲ om. C. – καὶ λ. om. C. – λούσθω θ. – ἢν δὲ ἀσθενῶς ἔχῃ, πίνειν δίδου τὰ ἄλφιτα (πάλην ἀλφίτων Vatic. Codd. ap. Foes in not.) vulg. – ἤδε ἀσθενὴς ᾖ (ἢν δ' ἀσθενήσῃ θ) πίνειν πάλιν ἀλφίτων Cθ. — [2] δ' θ. – ἀκυδν. vulg. – ἀκιδν. CDFHKθ, Cordæus, Lind. – σιτῖον F. – σίτα C. — [3] δὲ om. C. – προσφερέσθω Cordæus, Lind. – κοῦφα C. – εἰνήσεται vulg. – εἰρήσεται JL. – σινήσεται C. – εἰρύσεται Codd. Regg. ap. Foes in not. – ἠνήσεται θ. – ἰνήσεται Cordæus, Lind. – ὀξείη vulg. – ὀξέη θ. – τε om. C. — [4] δὲ om. Cθ. – λέχοι CFGHIJK, Ald. – λέχους D. – πίμπλαται vulg. – πίμπραται Dθ, Cordæus, Lind. — [5] ὀλ. CFI. – συμ. θ. – ξυμμίγειν C. – ὠμήλυσι θ. – ὠμιλίσι J. – ὠμολίσι H. – ὠμιλίσιν FIK. – σποδίην GHIK, Ald., Frob. – λῖνον CK. – φόξαντα FGH. – φώσαντα θ. — [6] βαλεῖν vulg. – ἀλειν (sic) θ. – οἴνῳ pro ὀξ. καὶ ἐλ. J. – ποιέειν θ. – πιεῖν G, Ald. – ποιεῖν vulg. – οἶνον pro οἷον DK. – ἕψειν C. — [7] ὡς vulg. – ἕως θ. – γενέσθαι vulg. – γένηται Cθ. – καὶ om. Cθ. – θερμότατον DHK. – χρίζῃ θ. – χρήζει F. – χρήζοι D. – Post χρ. addit καὶ C. – ἐγκαθιγνῦσθαι vulg. – ἐγκαθίζεσθαι Lind. – ἐγκαθινῦσθαι (D, al. manu ἐγκαθιγνῦσθαι) FHIJ. – ἐγκαθινύσθαι K. – ἐγκαθίννυσθαι C. – ἐγκαθιννύσθω θ. — [8] δὲ om. Cθ. – λέχῃ K. – δέχοι (sic) θ. – λέχοι CDFGHIJ, Ald. – ὅταν Cθ. – λόχια CD. – λοχία J. – ἐμμένῃ C. – γίνονται pro τείνονται θ. — [9] γίνονται (γίγν. C) vulg. – γίνεται Cordæus, Lind. – Bonne correction. – ἢν C. – πυκνωθέωσιν Cθ. –

tilles ; elle boira par-dessus du vin fort de Pramne ; quant aux autres aliments, elle s'en abstiendra jusqu'à ce que la fièvre ait cessé. Si on le juge convenable, elle pourra se baigner. Est-elle faible, qu'elle boive de la fine fleur de la farine d'orge ; sa faiblesse est-elle encore plus grande, elle la boira dans l'eau froide. Elle prendra, quand la fièvre sera tombée, des aliments légers qui ne dérangent pas le ventre. Cette maladie est aiguë et très-grave.

53. (*Phlegmasie utérine chez une nouvelle accouchée. Traitement.*) Si la matrice s'enflamme chez une nouvelle accouchée, le ventre s'échauffe et devient gros ; de l'oppression se fait sentir aux hypocondres. Quand il en est ainsi, appliquez des cataplasmes avec la mousse marine qu'on jette sur les poissons ; cette mousse aura été pilée dans un mortier ; on y mêlera de la grosse farine de grain non grillé, de la cendre de sarment et de la graine de lin grillée ; on moudra tout cela, on pétrira avec du vinaigre et de l'huile, et on fera comme un cycéon épais ; on cuira jusqu'à ce que la préparation prenne la consistance de la graisse, et on l'appliquera en cataplasme aussi chaude que possible. S'il le faut, on prescrira des bains de siége.

54. (*Autre cas de phlegmasie utérine chez une nouvelle accouchée. Traitement.*) Si l'utérus s'enflamme chez une femme en couche, il se tuméfie ; et, les lochies séjournant, il se distend secrètement. Cela arrive quand il a été condensé par le froid. Dans ce cas, s'il est refroidi, il faut le réchauffer ; s'il est brûlant et que le froid cesse, faire un pessaire qui s'oppose à l'inflammation, laver, fumiger et administrer les médicaments que j'écrirai ; aspirer de la vapeur dans la bouche et dans les narines.

πυκνωθῶσιν vulg. – ἀποψύχεσθαι pro ὑπὸ ψύχεος θ. — [10] ἀποψύχωνται θ. – περιφλιγέες vulg. – πυριφλεγέες Cθ. – ἐῶσιν FGIKθ, Ald., Frob. – ἅπτῃ pro ἀφῇ θ. – προσθετὰ DGHJK. – πρόσθετα C. – ἃ pro ὅ τι θ. – ἐναντιεῦται C. – λούειν ἅμα (ἅμα om. CDHKθ ; πυκνὸν erasum al. manu pro ἅμα I) vulg. – πιεῖν pro πυριῇν DK (FJ, πίνειν). – πυρίην C. – πυριᾶν θ.

55. Ἢν δὲ πνίγωσι, φακοὺς [1] ἑψεῖν ἐν ὄξει καὶ ἁλὶ καὶ ὀριγάνῳ πολλῷ, καὶ ὁλκὴν ποιέεσθαι, καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω.

56. [2] Ὅταν δὲ τάχιστα τέκῃ, πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης, καὶ σιτία διαχωρητικὰ προσφερέσθω. [3] Ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύζειν ὅτι τάχος.

57. Ἢν [4] αἱ μῆτραι φλέγματος ἐμπλησθέωσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι, καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα· ἔστι δ' ὅτε [5] αἷμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεον, καὶ ἔστιν ᾗσιν κυρκανᾶται, καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται, καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, [6] οὐδ' ὀργᾷ τοῦτο δρᾷν, καὶ λεπτὴ γίνεται· ὀδυνῆται δὲ τὴν νειαίρην γαστέρα [7] καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας· καὶ εἰ δάκνοι τὸ ῥέον καὶ ἑλκοῖ τὰ ἀμφίδεα, [8] χρόνιον φάναι τὸ ῥεῦμα. Καὶ ἢν πολὺ ἴῃ, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι· ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πῖσαι κάτω· σιτίων δὲ εἰργέσθω δριμέων· ἢν δὲ βαρύνηται καὶ [9] ψύχηται καὶ νάρκη ἔχῃ, γάλα διδόναι καὶ οἶνον εὐώδεα· πινέτω δὲ νῆστις ὑπερικὸν, [10] λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὑδαρεῖ· καὶ κλύσαι τὰς ὑστέρας τῷ ξὺν τῇ τρυγί· καὶ ἢν [11] μὴ ἡλκωμέναι

[1] Ἕψειν C. – ἁλικὰ pro ἁλὶ καὶ C. – ἁλικὰ pro ἁλὶ θ. – ὀλκὴν Ald. – λινοζώστιν (sic) F. – λινόζωστιν DH. – λινοζῶστιν vulg. – ἐσθιέσθω (sic) I, Frob. – ῥοφέειν C. – ῥύφειν (sic) θ. — [2] ὅτ' ἂν (ὅτι DQ', Lind.) (addit δὲ θ) τάχιστά τε (τε om. D; δὲ pro τε Lind.) καὶ (τέκῃ pro τε καὶ θ) πρὶν vulg. – ἔχῃ C. – παύσει C. – προσφέρεσθαι DJ. — [3] καὶ (καὶ om. Cθ) ἢν (addit δὲ θ) ἡ (ἡ om. C) γ. φλεγμαίνηται (φλεγμήνηται DH; θερμαίνηται θ, Vatic. Codd. ap. Foes in not.) vulg. — [4] δ' αἱ Jθ. – ἐμπλησθῶσι vulg. – ἐμπλησθέωσι C. – φῦσα ἐνγίνεται θ. – ἐλάσσω J. — [5] φλέγμα C. – καὶ ἀκρ. D. – ἀκρεφνὲς F. – ἀνάπλεων CDFGI JK. – ἀνακυρκανᾶται θ. – κιρνᾶται DHK. – Erot., p. 230 : κυρκανᾶται, ταράττεται. – τρεῖς D. — [6] καὶ pro οὐδ' θ. – ὀδυνᾶται Jθ. – νιαιραν (sic) θ. – νειαιρὴν Lind. – νειέρην (FGIK, Ald., Frob. — [7] καὶ Cθ, Lind. – καὶ om. vulg. – οἱ pro εἰ J. – δάκνοιτο ῥέον HIK (θ, ῥαίον sic). – δάκνει C. – ἕλκοι vulg. – ἕλκοιτο pro ἑ. τὰ H. – ἑλκοῖ Lind. – τὸ pro τὰ CDGθ. – ἀμφιδήιον (sic) θ. – ἀμφιλήϊμα (D, al. manu ἀμφίδεα) FG (H, al. manu ἀμφιλήϊμον) IJKL, Vatic. Cod. ap. Foes, Ald. – ἀμφιλήϊον C. – Erot., p. 100 : ἀμφίδιον, τὸ πέριξ τοῦ τῆς μήτρας τραχήλου. Gal. Gl. : ἀμφίδεον, τοῦ στόματος τῆς μήτρας τὸ ἐν κύκλῳ ἄκρον, ὅπερ καὶ σικύας χείλεσιν ἔοικε, κατὰ μεταφορὰν ἀπὸ τῶν γυναικείων ψελλίων ὠνομασμένον, ἃ καὶ αὐτὰ ἀμφίδεα καλοῦνται ἀπὸ τοῦ περιλαμβάνειν ἐν κύκλῳ καὶ οἷον ἀμφιδεῖν. Rufus, de Part. Hum.

55. (*Remède pour la suffocation causée par l'utérus.*) Si la matrice cause de la suffocation, cuire des lentilles dans du vinaigre, du sel et beaucoup d'origan, et en aspirer la vapeur; manger de la mercuriale; faire un potage avec l'eau où elle a bouilli et un peu de farine.

56. (*Conseils quand l'accouchement se fait trop promptement.*) Quand l'accouchement se fait très-promptement, donner, avant que la douleur survienne, les médicaments qui calment les douleurs utérines, et administrer des aliments qui lâchent le ventre. Si le ventre s'échauffe, administrer des lavements le plus tôt possible.

57. (*Matrice remplie de phlegme; règles pituiteuses; divers accidents. Traitement.*) Si la matrice se remplit de phlegme, des vents s'y développent et les règles coulent moindres, blanches, pituiteuses; parfois c'est un sang ténu, pur, plein de membranes. Parfois encore il y a dérangement, elles paraissent trois fois par mois; à cause de l'humidité la femme ne veut pas avoir de rapports avec son mari, et elle n'a aucun désir; elle maigrit. Elle souffre au bas-ventre, aux lombes et aux aines. Si le flux irrite et ulcère les lèvres de l'orifice utérin, dites qu'il sera de longue durée. Est-il abondant, faire vomir avec la bouillie de lentilles et l'ellébore; puis faire une infusion dans le nez, et administrer un purgatif. Elle s'abstiendra des aliments âcres. Si elle sent des pesanteurs, du froid et de l'engourdissement, donner du lait et du vin de bonne odeur; boire à jeun de l'hypéricon, de la graine de lin, de la sauge dans du vin aqueux de bonne odeur; faire des injections utérines avec la préparation à la lie; et, si la matrice n'est pas ulcérée, suspendre deux jours ou trois, puis administrer l'injec-

Corp. apellat., I, 31 : ἀμφίδιον. — [8] χρ. φ. τὸ ῥ. om. DFG (H, restit. al. manu) IK. – φᾶναι θ. – ἢν μὴ (μὴ om. θ) π. εἴη (ἴη θ) vulg. – φάμιον, al. manu κι D. – σὺν θ. – ἐλεβ. C. – πεῖσαι C. — [9] ψήγηται C. – ναρκὰ (sic) C. – ναρκα (sic) θ. — [10] σελίνου Lind. – λινούσπερμα θ. – Ante ὕδ. addit καὶ J. – ὕδαρι (sic) C. – σὺν θ. – τρύγει (sic) Cθ. — [11] μὴ θ, Lind. – μὴ om. vulg. – ἑλκωμέναι vulg. – ἑλκουέναι (sic) K. – ἡλκωμέναι C, Cordæus, Lind. – εἰλκωμέναι θ. – ἐῶσι θ. – διαλείποντα θ. – τρὶς Gθ, Ald.

ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς, [1]κλύσαι τῷ ξὺν τῷ κόκκῳ· μετὰ δὲ τοῦτο, στρυφνοῖσιν· ἢν δὲ ἡλκωμέναι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι, καὶ ἐγχριέσθω τῷ [2]ξὺν τῷ ἀργυρέῳ ἄνθει. Ἡ δὲ νοῦσος χαλεπὴ, καὶ ὀλίγαι ἐκφεύγουσιν.

58. Ἢν [3]δὲ αἱ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα, καὶ [4]ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπειδὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· οὐ γὰρ ῥώννυται, ἀλλ' ἀποῤῥεῖ. Γνοίης δ' ἂν [5]τῷδε· ὑγρὴ γίνεται, καὶ τὸ ἀποῤῥέον μυξῶδες καὶ γλίσχρον οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει, καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν, ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο [6]ἡμέρας καὶ τρεῖς βλένναι ἴασιν ἐκ τῶν ὑστερέων, καὶ φρίκη ἔχει, καὶ θέρμη οὐκ ὀξέη, πλὴν οὐκ ἐκλείπει. Ταύτην κλύσαι [7]τῷ ἀπὸ τῶν ὀλύνθων καὶ ὑφ' ὧν ὕδωρ καθαίρεται, καὶ δὶς καὶ τρίς· ἐπὴν δὲ [8]καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω· προστιθέναι δὲ τὰ μαλθακὰ, ὑφ' ὧν καθαίρεται φλέγμα, καὶ πυριῆν τὰς ὑστέρας [9]τῷ ξὺν τῇ δάφνῃ, καὶ κλύζειν τῷ [10]ξὺν τῷ ὄξει, καὶ θυμιῆν, ἐπὴν παύσηται τὰ ἐπιμήνια, τοῖσιν ἀρώμασι· κἄπειτ' ἀσιτέειν χρὴ, καὶ ἀλουτέειν, ξυνίτω δὲ τῷ ἀνδρὶ, καὶ σιτία καὶ οἶνον ὀλίγα λαμβάνειν, καὶ ἀλεαίνειν, [11]καὶ ῥήνικας ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, καὶ ἐλαίῳ ἀλείφειν.

59. Ἢν [12]δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ [13]γίνεται καὶ προαπολείπει, καὶ ἡ νειαίρη γαστὴρ οἰδέει, καὶ οἱ μαζοὶ στεῤῥοὶ, οὐ μαλθακοὶ, [14]καὶ τὸ γάλα

[1] Κλύσαι τρὶς (τρεῖς D) (κλυσαίτω pro κλ. τρὶς θ; κλ. τρὶς om. C) ξὺν (σὺν θ) vulg. – Lisez dans θ κλύσαι τῷ. – τόκῳ pro κόκκῳ D. – εἰλκωμέναι θ. – ἑλκωμέναι vulg. – ἡλκωμέναι FHIJK, Cordæus, Lind. – ἐλκεωμέναι (sic) C. – ἐῶσιν ἴπτεσθαι θ. – νύπτεσθαι C. — [2] σὺν θ. — [3] δὲ sine αἱ vulg. – δ' αἱ θ. – δὲ αἱ Gal. in cit. comm. Aph. V, 45. – περίπλεες Gal. ib. – ἐῶσι θ. – ὦσι C. — [4] ἢν om. θ. – ἴσχει θ. – Post διαφθ. addit δὲ θ. – ἐπὴν Cθ. – γίνηται J. – ἀλλὰ C. – ὑποῤῥεῖ θ. — [5] τόδε DH. – καθαιρομένης θ. — [6] ἡμέραι FK, Ald. – τρὶς θ. – βλέναι K. – ὑστέρων θ. – ὀξεῖα vulg. – ὀξείη DH. – ὀξέη θ. – καὶ pro πλὴν Hθ. – ἐκλίπει (sic) C. – κλυζέτω DJ. – κλύτω FGHIK, Ald. — [7] τῷ θ, Vatic. Codd. ap. Foes in not., Lind. – τῷ om. vulg. – ἀπὸ τῶν ὀλ. om. (D, restit. al. manu) FGHIJK. – ὀλόνθων Cθ. – καὶ Cθ. – καὶ om. vulg. – ἀφ' vulg. – ὑφ' Cθ. – ὕδωρ ἅπαν (ἅπαν om. Cθ) vulg. — [8] καθήρῃς θ. – χρ. om. Cθ. – πυρίη C. – πυριᾶν θ. — [9] τῷ om. G. – σὺν θ. — [10] σὺν θ. – θυμιᾶν θ. – τοῖς θ. – τῇσιν J. – ἀρωστήμασι (sic) G. – κἄπιτα θ. – ἀλουτείτω Cθ. – Post ἀλ. addit δὲ θ. – καὶ συνευδέτω τῷ θ. – ὀλίγον C. — [11] καὶ om. C. – ῥηνεικας (sic) θ. – εἰρηνικὰς vulg. – εἰρινικὰς Cordæus. – ἀρνακίδας Lind. – Gal. Gl. : ῥήνικας,

tion avec la baie du daphné gnidium, puis avec les astringents. S'il y a ulcération, laver avec la décoction de myrte et de laurier, et oindre avec la préparation à la fleur d'argent (*oxyde de plomb*). La maladie est fâcheuse, et peu réchappent.

58. (*Autre cas d'affection utérine attribuée à la pituite.*) Si les cotylédons sont remplis de pituite, les règles sont moins abondantes; la femme devient-elle grosse, elle avorte, quand le fœtus a pris quelque force; car il ne se développe pas, mais s'écoule. Vous vous en apercevrez ainsi : la femme devient humide; ce qui s'écoule est muqueux et gluant comme la matière du flux de ventre, et n'a rien d'irritant; lors des règles, quand le sang cesse d'être évacué, des mucosités s'échappent de la matrice pendant un jour ou deux; il y a frisson, chaleur non aiguë, mais qui n'a point de rémission. En ce cas, administrer le lavement avec l'eau de figues non mûres et avec ce qui évacue l'eau, et l'administrer et deux et trois fois; après cette purgation, user, pour le reste, d'astringents; appliquer en pessaire les émollients qui évacuent la pituite; fumiger l'utérus avec la préparation de laurier; injecter la préparation au vinaigre; quand les règles ont cessé, faire une fumigation avec les aromates. Puis la femme s'abstiendra d'aliments et de bains et s'unira avec son mari. Prendre en petite quantité les aliments et le vin, se tenir chaude, s'envelopper les membres inférieurs avec la peau de mouton, et faire des onctions huileuses.

59. (*Hydropisie de matrice. Traitement.*) Si une hydropisie (De la Nat. de la F., § 2) se forme dans la matrice, les règles deviennent moindres, mauvaises et s'arrêtent avant le temps;

ἀρνακίδας. – ἐλίσσ. K. — [12] δὲ om. C. – γένηται θ. — [13] γίνονται θ. – πρόσα (sic) ἀπολείπει pro προαπ. θ. – νιαιρα θ. – νειαιρὴ Lind. – νειέρη FGIK, Ald. – ἐπανοιδέει Cθ. – καὶ οἱ μαζοὶ (μ. om. θ) στ. (στεροὶ C) καὶ (καὶ om. C, D restit. al. manu, FHIJ; γίνονται pro καὶ Lind.) μαλθακοὶ (καὶ μ. om. θ) vulg. – De la Nature de la femme, § 2 : καὶ οἱ μαζοὶ ξηροὶ γίνονται, sans μαλθακοί. Je pense donc qu'il faut lire ici : στεῤῥοὶ, οὐ μαλθακοί. — [14] καὶ τἄλλα πονηρῶς ἔχει pro κ. τ. γ. π. Cordæus. – C'est la leçon du livre de la Nat. de la femme.

πονηρὸν, καὶ δοκέει ἐν γαστρὶ ἔχειν, καὶ [1] ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι· σημαίνει δὲ καὶ ἐν τῷ στόματι [2] τῇσιν ὑστέρῃσι, ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται· καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. Ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἴξύας καὶ [3] τοὺς κενεῶνας καὶ τοὺς βουβῶνας. Αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ γίνεται, καὶ ἐξ ἄλλων δὲ προφασίων, καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ. Λούειν χρὴ πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πῖσαι κάτω, καὶ πυριῆσαι τῷ [4] ξὺν τῷ βολίτῳ τὰς ὑστέρας· ἔπειτα προσθεῖναι [5] τὸ ξὺν τῇ κανθαρίδι, καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς· καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι· καὶ ἢν [6] ἡ γαστὴρ λαπαρὴ γένηται, καὶ οἱ πυρετοὶ παύωνται καὶ τὰ [7] καταμήνια προχωρέῃ κατὰ λόγον, τῷ ἀνδρὶ ξυγκοιμάσθω, καὶ ἐν τοῖσι προσθέτοισι μενέτω, καὶ μεσηγὺς ἡμέρης πινέτω κρήθμου φλοιὸν, γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις· καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ὠμὰ καὶ ἑφθὰ, καὶ τοῖσι μαλθακοῖσι [8] πρὸς ὕπνον χρήσθω, καὶ πουλύποσι, καὶ τοῖσιν ἄλλοισι [9] μαλθακοῖσι, θαλασσίοισι μᾶλλον ἢ κρέασι· καὶ ἢν τέκῃ, ὑγιαίνει.

60. Ἢν [10] ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω καὶ διὰ πλέονος χρόνου· [11] καὶ κύει δίμηνον ἢ μικρῷ πλέον· καὶ οἰδέει [12] ἡ κοιλίη, καὶ τὸ ἐπικτένιον, καὶ αἱ κνῆμαι,

[1] Ἐν om. θ. – τούτοις J. — [2] τοῖσιν θ. – ψαύουσι C. – καὶ ὑγρὸν om. θ. – πλείω vulg. – πλείων Jθ, Cordæus, Lind. – γένηται L, Lind. – ἔχῃ C. – νιαιραν θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Cordæus. — [3] τοὺς om. θ. – νόσος vulg. νοῦσος CJKθ, Cordæus, Lind. – προφάσεων C. – λούειν [δὲ] χρὴ Lind. – χρὴ om. θ. – ἡ om. D. – πεῖσαι C. – πυριᾶσαι θ. — [4] σὺν θ. – βολβίτω H. – βολβύτω C. – τῷ.... ξὺν om. (DH, restit. al. manu) FGIJK. — [5] τῷ DH. – καθαρίδι (sic) FGI. – τρὶς θ. – ῥώμην ἴσχειν νέτωπον C. – ἔχῃ θ. — [6] ἡ om. θ. – λαπαρὰ D. – γίνεται C. – γίνηται θ. – παύονται vulg. – παύωνται CJθ, Cordæus, Lind. — [7] ἐπιμήνια ἢν θ. – ἴῃ pro πρ. Cθ. – προχωρέει vulg. – προχωρέῃ J, Cordæus, Lind. – καὶ (καὶ om. CHθ) τῷ vulg. – συγκ. θ. – μενέτω, καὶ om. (D, restit. al. manu) FGHIJKθ, Ald. – μεσίγυ DFG. – μεσηγὺ CHIKθ, Ald. – μεσσηγὺ J. – κρηθμοῦ vulg. – κριθμοῦ C. – καὶ (καὶ om. Cθ) ἀκτῆς vulg. – λινόζωστιν CDHKθ. – λινοζῶστιν vulg. – ἐσθίειν Cθ. – σκόρδα G. — [8] πρ. ὕ. om. Cθ. – χρῆσθαι θ. – πολυποσίῃ vulg. – πολυποδίῳ Lind. – πουλύποσι θ. — [9] μαλθακοῖσι (addit χρήσθω καὶ πουλύποσι θ) καὶ ὄψοισι (ὄψοισσι sic F; τοῖσι pro ὄψ. θ) (καὶ ὄψ. om. C) θαλ. vulg. – ἢν δὲ τέκῃ (sine καὶ), ὑγιὴς γίνεται Cθ. — [10] ὕδροψ FGK. – ὕδερος L. – ἴδρωψ C. – δ' ὕ. θ. – ἐλάσσω.... πλείονα om. C. – κακείω θ. – πλείονος vulg. – πλέονος θ. — [11] καὶ

le bas-ventre enfle; les mamelles, loin d'être molles, sont dures; le lait est mauvais; la femme semble être enceinte. Voilà à quoi vous reconnaîtrez que c'est une hydropisie. Mais il y a aussi des signes à l'orifice de l'utérus; car la femme, en le touchant, le trouve mince et humide. Le frisson et la fièvre surviennent. A mesure que le temps se prolonge, la douleur occupe le bas-ventre, les lombes, les flancs et les aines. Cette maladie vient à la suite d'un avortement; elle vient aussi par d'autres causes, et, entre autres, par la suppression des menstrues. Il faut laver avec beaucoup d'eau chaude et appliquer des fomentations quand la douleur existe; a-t-elle cessé, administrer un purgatif et faire à la matrice la fumigation avec la bouse de vache; puis mettre le pessaire à la cantharide, et suspendre pendant deux jours ou trois. Si les forces sont bonnes, injection avec le nétopon; le ventre devient-il vide, les fièvres cessent-elles, les règles marchent-elles convenablement, la femme s'unira avec son mari, se tiendra encore à l'usage des pessaires, et, après l'intervalle d'un jour, boira dans du vin, à jeun, l'écorce de crithmos, cinq graines noires de pivoine, graines de sureau; elle mangera de la mercuriale autant qu'elle pourra, de l'ail cru et cuit; elle usera, pour le sommeil, des aliments mous, poulpes et autres chairs molles, chairs marines plutôt que viandes. Si elle devient grosse, elle guérit.

60. (*Hydropisie de matrice, avec grossesse. Traitement.*) Si une hydropisie (De la Nat. de la F., § 35) se forme dans la matrice, les règles sont moindres, plus mauvaises et à de plus longs intervalles. La femme reste grosse pendant deux mois

καιρῷ (καίειν pro καιρῷ, D al. manu καιρὸν, FGHIK, Ald.; καιρῷ om. θ) ἐλάσσονα (ἐλάσσονος θ) ἢ (ἢν pro ἢ DFGHIJK, Ald.; ἢ om. θ) μικρῷ πλείονα ἴῃ (εἴῃ CL) (ἴῃ om. θ), καὶ vulg. - Si l'on fait attention que la leçon de vulg. et des mss. est inintelligible, si l'on compare le passage parallèle de la Nat. de la Femme qui est καὶ κυίσκεται ἑκάστοτε διμήνου μικρῷ πλεῖον, si l'on prend en considération le καίειν de beaucoup de mss, on verra qu'il faut lire καὶ κύει δίμηνον ἢ μικρῷ πλέον. - οἰδέῃ C. — [12] ἢ om. C. - τὸ om. C. - κνίμαι θ.

ξας κέδρινον ἔλαιον ἥμισυ κυάθου σμικροῦ, δὸς πιεῖν. [1] Ἄλλο· ταύρου χολὴν ὅσον ὀβολὸν, ἢ ἡμιωβόλιον, τρίβων ἐν οἴνῳ δός· ἢ σταιτὶ περιπλάσσων πάλιν καταπιεῖν δίδου. [2] Ἄλλο· καρκίνους ποταμίους πέντε καὶ λαπάθου καὶ πηγάνου ῥίζαν, καὶ αἰθάλην ἀπὸ τοῦ ἰπνοῦ τρίψασα ὁμοῦ πάντα καὶ ἑνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις τρίς. [3] Ἄλλο· σικύης ἐντεριώνην τρίψας λείην ἐν κεδρίνῃ πίσσῃ ἐς εἴριον ἐνελίξας, προσδήσας πρὸς τὸ πτερὸν λίνῳ, [4] προσθέσθω ἔσω· τοῦ δὲ πτεροῦ τὸ σκληρὸν προεχέτω σμικρὸν ἔξω ἐκ τοῦ εἰρίου· ὅταν δὲ αἷμα φανῇ, ἀφελέσθω. [5] Ἄλλο· ἐλλεβόρου μέλανος λαβὼν ῥαβδίον ὅσον ἓξ δακτύλων περιείλιξον ἐν εἰρίῳ, τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι, εἶτα προσθέσθω [6] ἔσω ὅτι μάλιστα· ὅταν δὲ αἱμαχθῇ τὸ ἄκρον, ἀφελέσθω. [7] Ἄλλο· ἐλλέβορον μέλανα καὶ κανθαρίδας καὶ κόνυζαν τρίψας ἐν ὕδατι [8] καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήρανον, κἄπειδὰν σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω, [9] τὸ δὲ ἄκρον κεδρίᾳ χρισάτω, καὶ ἔστω ψιλὸν, ὅταν δὲ αἷμα φανῇ, ἀφελέσθω. [10] Ἐκβόλιον· ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ, ἢ ἀπόπληκτον, βατράχιον καὶ ἐλατηρίου σμικρὸν μῖξαι ἐν ὄξει εὐκρήτῳ, καὶ δοῦναι πιεῖν. [11] Ἢ κράμβης ἁπαλὸς καυλὸς κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος ἐμβαλέσθω.

92. [12] Νόθα τῇ τελευτῇ τοῦ πρώτου περὶ γυναικείων βιβλίου προσ-

[1] Ἄλλο om. FG. – χολῆς θ. – ἡμιοβόλιον CFGHIK, Ald., Frob., Cordæus, Lind. – μιωβέλιον (sic) θ. – ἢ [ἐν] στ. Lind. – περιπλάσαι (περιπλάσας DHIK, Lind.; περιπλάσσων θ) ὧν (ὧν om. θ; ὡς pro ὧν Lind.; ὠὸν pro ὧν, C in marg., D) πάλιν (πάλι θ; πάλην Lind.) (ἔμπαλιν pro ὧν πάλιν Cordæus in not.) vulg. – καταπίνειν D. – δίδου CDHIKθ. — [2] ἄλλο om. FG. – Post λαπ. addit ῥίζαν θ. – καὶ πηγ. om. C. – αἴθαλον vulg. – αἰθάλην CK. – ἵππου θ. – ἰπνοῦ DHJK. – ἴπνου vulg. – τρίψας θ. – τρίψασαν CDFHIJK, Ald. – καὶ ἐν. om. C. – ἑνόσας D. – ἑνώσασαν FIJK, Ald. – πιέτω C. – νῆστις ἐκ (ἐκ om. Cθ) τρίτου (τούτου pro τρ. Cordæus; τρὶς pro τρ. Cθ) vulg. — [3] ἄλλο om. FG. – ἐντεριόνην H. – λίην θ. – πίσσην FG. – πίσσης D. – ἐνελίξασα θ. – ἐνειλιξας D. – ἐνελείξας H. – προσδήσασα FHIJK, Ald. – προσδησάτω θ. – προσδείσασα C. — [4] πρ. δὲ (δὲ om. θ) ἴσον (ἔσω pro ἴσον θ; εἴσω Foes in not., Lind.), τοῦ vulg. – τὸ σκληρὸν om. θ. – προσεχέτω vulg. – προεχέτω θ. – μικρὸν vulg. – σμ. C. – φανῆται vulg. – φανῇ Cθ. – φανεῖται K. — [5] ἄλλο om. FG. – ἐξαδάκτυλον θ. – περιέλιξον θ. – περιειλίξας K. – ἐν om. Cθ. — [6] εἴσω vulg. – ἔσω θ. – μάλιστα ὅτι K. — [7] ἄλλο om. FG. – ἄλλο.... ἀφελέσθω om. DQ'. – κονύζην C. – κονιαν (sic) θ. — [8] καὶ om. Cθ. – βαλάνιον CFGHIJK. – ξήρ. om. Cθ. – ἐπειδὰν C. — [9] τῷ FG. – δὲ om. Cθ. – ἄκρω G. – κεδρία θ. – κέδρῃ vulg. – κεδρίνῃ Lind. – χρησάτω CG. – φανῆται vulg. – φανῇ Cθ. – ἀφε-

donner à boire. Autre : bile de taureau une obole ou une demi-obole, piler dans du vin et donner ; ou envelopper dans de la pâte et donner à avaler. Autre : écrevisses de rivière cinq, racine de patience et de rue, suie d'un four, piler le tout ensemble dans de l'hydromel et incorporer, puis exposer au serein, et faire boire à jeun trois fois. Autre : intérieur d'une courge, bien broyer dans de la poix de cédros, rouler dans de la laine, attacher à une plume avec un fil, et mettre à l'intérieur ; la partie dure de la plume fera un peu saillie hors de la laine ; quand le sang paraît, on l'ôte. Autre : prendre un rameau d'ellébore noir long de six doigts, le rouler dans la laine, en laisser l'extrémité nue, puis l'introduire aussi avant que possible ; quand elle est tachée de sang, la retirer. Autre : ellébore noir, cantharides, conyza, piler dans l'eau, faire un gland mou long de six doigts, sécher ; puis, quand il est durci, l'entourer de laine et l'appliquer ; l'extrémité sera ointe de résine de cédros, et laissée nue ; on le retirera quand le sang paraîtra. Moyen expulsif ; si l'embryon mort est à l'intérieur, ou s'il est frappé d'apoplexie, batrachion (*ranunculus asiaticus*), un peu d'ellébore, mêler dans du vinaigre bien coupé, et donner à boire. Autre : tige tendre de chou, frottée de nétopon par le bout et introduite.

92. *Quoique cet appendice soit dit apocryphe dans des manuscrits, cependant je ne le regarde aucunement comme tel. Seulement, ce qu'on peut dire, c'est qu'il ne tient en rien aux livres des Maladies des Femmes. Il me paraît être un fragment de quelqu'un de ces livres intitulés* Φαρμακῖτις *que les Hippocratiques avaient rédigés et dont il est fait mention dans le livre des Affections,*

λέτω θ. — [10] ἐκβ. om. FG - ἄλλο pro ἐκβ. JK. - τεθνεὼς J. - τεθνιὸς θ. - ἔνδον om. Cθ. - ἢ om. θ. - ἢ om. C. - Post ἀπ. addit ἢ θ. - ἐλατήριον vulg. - ἐλατηρίου Cθ. - μικρὸν vulg. - σμ. C. - εὐκρήτῳ θ. - ἀκρήτῳ vulg. - πῖσαι pro δ. π. θ. - ποιῆσαι pro δ. π. C — [11] Ante ἢ addit νόθα C. - καυλὸς ἁπ. Cθ. - κατὰ τὸ om. C. - χρ. νετ. Cθ. - χριώμενος (sic) I. - ἐμβαλλέσθω DFIJ. - ἐμβ. om. Cθ. - Hic addit ἢν εὔτοκον θεραπεύῃς, κόψας βόλιτον αὖον καὶ διασήσας ὅσον τέσσερας θ. — [12] νόθα.... προσκείμενα om. Cθ. - A νόθα ad finem libri om. DFGHIJK. - Ald. et Froben placent cet appendice après le livre Περὶ ἀφόρων,

κείμενα. Βηχὸς [1] παιδίου· θαψίην ἐπ' ἀλφίτοισι ψωμίζειν. Ἕτερον· ὠὸν [2] ὀπτήσαντα, τὴν λέκιθον ἐξελόντα, τρῖψαι· καὶ σήσαμον λευκὸν πεφρυγμένον καὶ ἅλες, ἐν μέλιτι ἐλλείχειν. Τὴν κοιλίην [3] λῦσαι παιδίου· εἴριον ἄπλυτον ἐς μέλι βάψας ἐνθεῖναι· ἢν δὲ γεραίτερον ᾖ, κρομμύων τὰ ἔσωθεν τρίψας ἐντιθέναι· [4] ἢν δὲ μὴ, κλύσαι γάλακτι αἰγὸς, συμμίξας μέλι· ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνιον ἄλευρον ἐκπλύνας, μέλι καὶ ἔλαιον μίξας, χλιερῷ κλύσαι. [5] Ἄσθματος παιδίου· λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ, ἀλουσίη, καθαρτήριον· βαλανίδας ποιέειν, κοτύλην μέλιτος, ἀνίσου ὀξύβαφον, ἀσφάλτου δύο δραχμὰς, χολὴν βοὸς, σμύρνης τρεῖς δραχμὰς, πόσιν ἐλατηρίου· ἑψεῖν ἐν χαλκῷ, [6] μίσγειν ἔλαιον χηνὸς, καὶ ὅταν μέλλῃ χρῆσθαι, ἀλείφειν τὰς βαλάνους τῷ χηνείῳ μαλακῷ· εἰρίῳ δὲ χρῆσθαι τῷ οἰῷ, ἐλαίῳ δὲ σχινίνῳ, τούτῳ μίσγειν κιννάβαρι.

93. Ἔμετον λύει· [7] ὠκύμου χυλὸς ἐν οἴνῳ λευκῷ. Ἕτερον· ἀλήτου σητανίου [8] κεχυλισμένου τὸ ὕδωρ, ἢ ῥοιᾶς γλυκείας καὶ ὀξείας ἀποχυλώσας, εἶτα μέλι μίξας.

94. Τὸ σηπτικὸν ὧδε ποιέεται· ἐλλέβορος μέλας, [9] σανδαράκη, λεπὶς χαλκοῦ, ἴσον ἑκάστου τρίβειν χωρίς· ὅταν δὲ λεῖον ᾖ, παραμῖξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας κεδρίνῳ, χριέτω.

95. [10] Ὀπτὸν φάρμακον ὧδε ποιέεται· ἄνθος κεκαυμένον καθαρῶς, ἄχρις οὗ φοινικοῦν γένηται, τρίψας λεῖον, τουτέῳ χρῶ.

96. Τὸ μέλαν φάρμακον· λεπὶς, ἄνθος, χωρὶς τρίβειν ἑκάτερον· ὅταν δὲ [11] λεῖον τρίψῃς οὕτω, μίσγειν· ποιέειν δύο ἢ τρία εἴδη τοῦ φαρ-

[1] Παιδίοισι θ. – ἀλφίτοις vulg. – ἀλφίτοισι θ. — [2] ὀπτήσας εἶτα τὴν θ. – ἐνλείχειν vulg. – ἐνλίχειν θ. – ἐλείχειν (sic) C. — [3] λ. τοῦ (τοῦ om. Cθ, Ald., Frob.) π. vulg. – εἰς θ. – ἐντιθέναι θ. – ἐὰν vulg. – ἢν θ. – κρομμύου θ. – ἔξωθεν vulg. – ἔσωθεν θ, Lind. — [4] ἢν δὲ μὴ, κλύσαι γάλακτι αἰγὸς, συμμίξας μέλι θ. – ἢν.... μέλι om. vulg. – μέλι [τε] καὶ ἔλ. Lind. – χλιηρῷ vulg. – χλιερῷ θ. — [5] ἆσθμα τοῖς παιδίοις θ. – παιδίοις C. – ἀννήσου θ. – ὀξόβαφον θ. – τρὶς δρ. ποσὶν θ. — [6] μ. δ' ἔλαιον ἢ χηνὸς θ. – μέλλῃς θ. – βαλάνους τῷ χηνείῳ ἢ τῷ οἰῷ, εἰρίῳ δὲ χρῆσθαι μαλακῷ, ἐλαίῳ Lind. – τῷ χηνίῳ μαλθακῷ Cθ. – ἔξω νετώπῳ pro τῷ οἰῷ θ. – δὲ om. θ. – σχινίῳ C. – κιννάβαρ (sic) C. – κινναβάρει θ. — [7] ὀκίμου θ. — [8] κεχλυλισμένου (sic) θ. – ῥοιῆς γλυκείης καὶ ὀξείης θ. – μέλιτι vulg. – μέλι θ. — [9] σανδαράχη Lind. – λίον θ. – τιτάνου καὶ δεύσας θ. – χρῶ pro χρ. θ. — [10] τὸ ὀπτὸν θ. – ὀπὸν C. – σηπτὸν Foes in not., Lind. – ἄχρις (ἄχρι θ) οὖν (οὗ Cθ, Lind.) φ. vulg. – λίον τούτῳ θ. — [11] λίον θ. – τρίβῃς vulg. – τρίψῃς θ. – μίσγε vulg. – μίσγειν θ. – Post ἄνθος addit δὲ C. – τριτημόριον θ. – τεταρτημόριον θ. – πεντημόριον vulg. – πεμπτημόριον θ. – ἐπὶ πᾶν ἁρμόττει θ.

§ 28, t. VI. — (*Différentes recettes pour la toux des enfants, pour leur lâcher le ventre.*) Partie apocryphe, mise en appendice à la fin du premier livre sur les maladies des femmes. Pour la toux des enfants : faire manger de la thapsie dans de la farine d'orge. Autre : faire cuire un œuf, ôter le jaune, puis ajouter sésame blanc grillé et sel, et donner en électuaire dans du miel. Pour lâcher le ventre, chez un enfant : mettre en suppositoire de la laine non lavée, trempée dans du miel; si l'enfant est plus grand, piler l'intérieur des poireaux, et mettre en suppositoire; sinon, donner un lavement avec du lait de chèvre mêlé à du miel; s'il n'y a pas de lait, laver de la farine de blé de printemps, ajouter miel et huile, et injecter tiède en lavement. Pour la gêne de la respiration, chez un enfant : encens dans du vin doux, interdiction des bains, purgatif; faire des suppositoires, miel une cotyle, anis un oxybaphe, asphalte deux drachmes, bile de bœuf, trois drachmes de myrrhe, une potion d'élatérion; faire cuire dans un vaisseau de cuivre, mêler de la graisse d'oie, et, quand on va s'en servir, oindre les suppositoires avec de la graisse d'oie molle; on se sert de laine de mouton, d'huile de lentisque, et on y mêle du sang-dragon.

93. (*Moyens d'arrêter le vomissement.*) Pour arrêter le vomissement : jus d'ocymum (*ocymum basilicum*) dans du vin blanc. Autre : eau dans laquelle aura bouilli de la farine de blé du printemps, ou jus exprimé de grenades douces et acides, puis y mêler du miel.

94. (*Formule du médicament septique.*) Le médicament septique se compose ainsi : ellébore noir, sandaraque, écaille de cuivre, de chaque partie égale, piler à part; quand c'est bien broyé, mêler plâtre le double d'une partie, mouiller avec de l'huile de cédros, et oindre.

95. (*Formule du médicament grillé.*) Le médicament grillé se prépare ainsi : fleur de cuivre bien brûlée jusqu'à ce qu'elle devienne de couleur rouge, bien piler et s'en servir.

96. (*Formule du médicament noir.*) Le médicament noir :

μάκου, τὸ μὲν ἰσχυρότατον τὸ ἄνθος τριτημόριον τῆς λεπίδος, τὸ δὲ δεύτερον, τεταρτημόριον, τὸ δὲ τρίτον, πεμπτημόριον· τοῦτο τὸ φάρμακον ἐπιπᾶν ἁρμόζει.

97. [1] Διαλειπτὸν πρὸς τὴν συνάγχην· κάχρυς, ἀσταφὶς ἀγρία, ἀψίνθιον, ἐλατήριον, μέλι.

98. Ἐν [2] τοῖσι ποδαγρικοῖσιν ὀδυνήμασι τὰ ἀφιστάμενα ἁλὶ καταπλάσσειν ὕδατι φύροντα λεῖον, καὶ μὴ λύειν τριῶν ἡμερέων· ὅταν δὲ λύσῃς, αὖθις νίτρον ὠμὸν, τοῦ ἐρυθροῦ τρίψαντα καὶ μέλι ὀλίγον, τουτέῳ ὥσπερ ἁλὶ χρέεσθαι τὸν ἴσον χρόνον· ἐς [3] κύθραν ἅλας ἐμβάλλειν λείους, εἶτα στυπτηρίην [4] ὀλίγην ἐπιπάσαι, εἶτα τιθέναι τὰ χαλκεῖα, καὶ αὖθις ἐπιπάσσειν τοὺς ἅλας καὶ τὴν στυπτηρίην, εἶτα καταλείψας ὑποκάειν νύκτα καὶ ἡμέρην.

99. Τὴν ἕδρην [5] ἐμβάλλει· ἀσταφίδι λείῃ, τετριμμένῃ, ξηρῇ, ἐπαλείφειν τὴν ἕδρην.

100. Τὰ [6] πεπωρωμένα διαχεῖ· σανδαράκην ἐν σταιτί.

101. Θρίδακος τῆς [7] ἐρυθρῆς ὀπὸς ὀδύνην λύει πᾶσαν ἐν ὕδατι, σταθμὸς ἡμιωβόλιον ἀττικόν.

102. Ὀφθαλμικά· [8] χαλκὸς κεκαυμένος, ἰὸς, σμύρνα χολῇ αἰγὸς λύεται· ταῦτα πάντα ὁμοῦ τρίψας λεῖα, οἴνῳ διιέναι λευκῷ· [9] εἶτα ξηρᾶναι πρὸς τὸν ἥλιον ἐν χαλκείῳ· ἔπειτα ἐς κάλαμον ἐμβαλὼν, ξηρῷ χρῆσθαι.

103. [10] Ἔμπλαστρον· μίσυ κατακαύσας, τρῖβε ἐν ἴγδῃ· ξυμ-

[1] Διαλειπὸν πρὸς τὸ συνάγχους C. – τοὺς συνάγχους θ. – καχρυσα (sic) σταφὶς θ. – κάχρυα, σταφὶς vulg. – Lisez, dans θ, κάχρυς, ἀσταφίς. — [2] τοῖς ποδαλγικοῖς vulg. – τοῖσι ποδαγρικοῖσιν θ. – ἁλὶ θ. – ἁλὶ om. vulg. – καταπάσσειν θ. – Ante ὕδ. addunt νίτρον Cornar., Foes in not., Lind. – φυρῶντα λίον θ. – λούειν vulg. – λύειν θ. – λούσῃς vulg. – λύσῃς θ. – λίτρον θ. – τουτέῳ (τούτω θ) ὥσπερ αἰεὶ (ὡσπερανεὶ C; ὥσπερ ἁλὶ θ) χρέεσθαι (χρῆσθαι θ; χρίεσθαι C) καὶ (καὶ om. θ) τὸν vulg. – τὸν ἴσον.... ἕδρην om. Lind. – Ce que Linden a omis est omis aussi par les traducteurs. En effet cela était complétement inintelligible avant les restitutions de θ. — [3] χύτρην θ. – ἅλας θ. – ἅλας om. vulg. – ἐμβαλὼν λίους θ. — [4] ὀλίγην ἐπιπᾶσαι εἶτα τιθέναι τὰ χαλκία καὶ αὖθις ἐπιπάσσειν τοὺς ἅλας καὶ τὴν στυπτηρίην θ. – ὀλίγην.... στυπτηρίην om. vulg. – καταλίψας θ. – ὑποκεῖν vulg. – ὑποκαεῖν (sic) Cθ. — [5] ἐμβαλεῖν vulg. – ἐμβάλλει θ. – λίῃ θ. – τετριμμένην C. – ἐναλείφοντι vulg. – ἐπαλείφειν θ. — [6] πεπυρωμένα διάχριε, ἀνδράχνην ἐν vulg. – πεπωρωμένα διαχεῖ σανδαράχην ἐν θ. — [7] ἐρ. ὁπόσον (ὀπὸς θ) ὁλκὴν (ὀδύνην Cθ) λύει (λύε Lind.) πᾶσαν (ἅπασαν θ) vulg. – ἡμιοβόλιον vulg. – ἡμιωβέλιον θ. — [8] χαλκοῦ (χαλκὸς C, Ald., Frob.) ἰὸς (οἷος C, Ald., Frob.), χολὴ αἰγὸς, σμύρνα, ταῦτα λύεται πάντα

écaille de cuivre, fleur de cuivre, piler séparément; quand la trituration est complète ainsi, composer deux ou trois espèces du médicament, l'une la plus forte où la fleur est le tiers de l'écaille, l'autre où elle est le quart, la troisième où elle est le cinquième; ce médicament a un emploi très-étendu.

97. (*Formule d'un liniment pour l'angine.*) Liniment pour l'angine : cachrys (*cachrys cretica*), staphisaigre, absinthe, élatérion, miel.

98. (*Recette contre les douleurs goutteuses.*) Dans les douleurs goutteuses, appliquer sur les parties gonflées du sel dont on fait une pâte avec de l'eau, et ne pas détacher de trois jours; puis, quand vous l'avez ôté, piler du nitre rouge cru et un peu de miel, et s'en servir comme du sel, le même temps; le sel pilé se jette dans un vase, puis on le saupoudre d'un peu d'alun, alors on met les chaudrons sur le feu, et de rechef on saupoudre avec le sel et l'alun, enfin on le laisse se cuire une nuit et un jour (voy. Diosc. V, 126).

99. (*Recette en cas de chute du rectum.*) Pour faire rentrer le fondement qui tombe : raisins secs, bien pilés, séchés, en frotter le fondement.

100. (*Pour résoudre les concrétions.*) Pour résoudre les concrétions : sandaraque dans de la graisse.

101. (*Recette anodine.*) Le suc de la laitue rouge, dans de l'eau, dissipe toute douleur, à la dose d'une demi-obole attique.

102. (*Recette pour les yeux.*) Préparations ophthalmiques : cuivre calciné, vert-de-gris, myrrhe, délayés dans de la bile de chèvre; bien triturer tout cela ensemble et mouiller avec du vin blanc; puis sécher au soleil dans un vase de cuivre; ensuite mettre dans un roseau, et s'en servir sec.

103. (*Emplâtres.*) Emplâtre : misy calciné, triturer dans un

vulg. – χαλκὸς κεκαυμένος, ἰὸς, σμύρνα, χολὴ αἰγὸς λύεται ταῦτα πάντα θ. – λία θ. – διεῖναι θ. — [9] εἶτα ξηράναι πρὸς τὸν ἥλιον ἐν χαλκίῳ θ. – εἶτα... χαλκείῳ om. vulg. — [10] ἔνπαστον θ. – κατασκευάσας vulg. – κατακαύσας θ. – τρίβειν θ. – συνμίσγειν δ' θ. – χρισῆτιν Ald. – χρυσῆτιν C. – εἶναι pro ἔστω θ. – ἔστι C. – τρία μέρη θ. – τρία ἢ μίσυ ὡς ἓν ἥμισυ κατάκαιε C. – τοῦ δὲ μ. θ. – τὸ δὲ μ. κατακαίειν ἐς μάζαν, φ. ὅπως θ. – ἢ pro ᾗ θ.

μίσγειν δὲ αὐτῷ σποδὸν χρυσῖτιν πεπλυμένην· ἔστω δὲ τῆς σποδοῦ τρία, τοῦ μίσυος ἕν· τὸ μίσυ κατάκαιε ἐς μᾶζαν, φυλασσόμενος ὅκως μὴ ἐκρυῇ· ὀπτώμενον γὰρ ἐξυγραίνεται· ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίνεται. [1]Ἔμπλαστρον· ψιμύθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ τὸ μίσυ γίνεται. Ἕτερον [2]ἔμπλαστρον ἰσχυρότερον τούτου· σποδὸς κυπρίη ἐκ τοῦ ἀσβόλου πεπλυμένη, καὶ ψιμύθιον, καὶ μίσυ ὀπτόν· εἶναι δὲ δύο μοίρια τῆς σποδοῦ καὶ τοῦ ψιμυθίου, ἓν τοῦ μίσυος.

104. Ὑγρὸν ἀνεμώνης, τὰ φύλλα κόψαντα, ἐκπιέσαι, καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ κατακαλύψαντα, [3]ὅκως μηδὲν ἐμπεσεῖται· ὅταν δὲ παχὺ ᾖ, διαπλάσσειν φθόεις, εἶτα ξηραίνειν· ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα· [4]εἶτα ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα, καὶ μίσγειν σποδὸν πεπλυμένην τὴν ἐκ τοῦ ἀσβόλου ἴσην πρὸς ἴσον, εἶτα παραστάζων νέτωπον σμικρὸν τρίβειν, εἶτα μέλιτι διιέναι· [5]εἶτα ξηρήνας, ἐς χαλκῆν κιστίδα [ἐμβαλὼν,] τουτέῳ χρῶ. Ξηρὸν [6]μαλακόν· σποδὸς κυπρίη, χαλκῖτις ἄπλυτος, λεῖα τετριμμένη, καὶ ἄνθος χαλκοῦ. ταῦτα ἴσα μίσγειν καὶ τρίβειν λεῖα. Ἕτερον ξηρόν· σποδὸς κυπρίη, χαλκῖτις λεῖα τετριμμένη, καὶ σποδὸς χρυσῖτις[7] ἄπλυτος, ἐν ᾗ ἀφέψεται τὸ χρυσίον, ἴσα ἀλλήλοις λεῖα τρίβειν. Ἕτερον ξηρόν· σποδὸς πεπλυμένη, [8]χρυσῖτις καὶ ἀφρὸς χαλκοῦ ἴσα λεῖα. Ἕτερον· ὀμφακὸς χυλὸς, [9]καὶ σποδὸς κυπρίη· τὴν ὄμφακα ἀκμάζουσαν χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χαλκὸν ἐρυθρὸν, καὶ μῖξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου, καὶ οὕτω καθεψεῖν ἐν τῷ ἡλίῳ, καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης· ὅταν δὲ παχὺς γένηται

[1] Ἔνπαστον θ. – ψιμίθιον (bis) Frob., Lind. – τῶ μίσυ ὀπτωμένω ὅπερ ἐν θ. – χρυσήτιδι C, Ald. — [2] ἔνπαστον ἰσχ. τούτων θ. – κυπρία vulg. – κυπρίη θ. – πεπλυμένου vulg. – πεπλημένου C. – πεπλυμένη θ, Foes in not., Lind. – δύο μοίρας τῆς σπόδου τοῦ ψιμυθίου (ψιμιθίου, Frob.), ἐν τούτῳ μίσυος ὑγρόν. Ἀνεμώνης vulg. – δύο μοίρας τῆς σπ., τοῦ ψιμιθίου ἕν, τοῦ μίσυος ἕν. Ὑγρὸν ἀνεμώνης Foes in not., Lind. – δύο μόρια τ. σπ. καὶ τ. ψ. ἐν (sic) τοῦ μίσυος. Ὑγρὸν ἀνεμώνης θ. — [3] ὅπ. θ. – ἐμπεσῆται vulg. – ἐμπέσηται θ. – φθόεις Lind. – φθοεῖς vulg. — [4] εἶτ' θ. – λία θ. – σποδῷ πεπλυμένῃ τῇ ἐκ τοῦ ἀσβόλου ἴσον, εἶτα vulg. – σποδὸν πεπλυμένην τὴν ἐκ τοῦ ἀ. ἴσην πρὸς ἴσον, εἶτα θ. – μικρὸν vulg. – σμ. θ. – διεῖναι θ. — [5] εἶτε ξερανες (sic) χαλκὴν θ. – κηστίδα C, Ald., Frob. – J'ajoute ἐμβαλών. – τούτω χρῆσθαι θ. — [6] μαλθακὸν θ. – κυπρία vulg. – κυπρίη θ. – λία (bis) θ. – ἀφρὸς pro ἄνθος θ. — [7] κυπρία vulg. – κυπρίη θ. – διατετριμμένη vulg. – λία τετριμμένη θ. – χρυσῆτις C. – ἄπλυτος ἐναφεψεῖται τὸ χρυσίον ταύταις ἀλλήλαις (ταύτας ἀλλήλαις Foes

pilon, y mêler de la spode chrysitis lavée (*oxyde de plomb*); il y aura trois parties de spode, et une de misy; brûlez le misy en pain, prenant garde qu'il ne s'écoule; en effet, grillé, il se liquéfie; quand il est bien grillé, il devient rouge. Emplâtre : céruse mêlée de la même façon avec le misy grillé comme pour la préparation avec la spode chrysitis. Autre emplâtre plus fort que le précédent : spode de Chypre lavée, celle qui provient de la suie, céruse, misy grillé; il y aura deux parties de la spode et de la céruse et une de misy.

104. (*Différentes formules de préparations qu'on emploie sèches.*) Piler les feuilles de l'anémone; en exprimer l'humidité, et mettre au soleil dans un vase en cuivre rouge que l'on couvrira afin qu'il n'y tombe rien; quand la préparation est épaisse, en faire des pastilles, et sécher; quand c'est sec, calciner autant que possible, laisser refroidir, bien triturer, et mêler en partie égale, avec la spode lavée, celle qui provient de la suie; puis verser un peu de nétopon, triturer, mouiller avec du miel, sécher, et mettre dans une boite de cuivre pour s'en servir. Préparation sèche adoucissante : spode de Chypre, chalcitis non lavée bien triturée, fleur de cuivre, de chaque partie égale, mêler, triturer. Autre, sèche : spode de Chypre, chalcitis triturée, spode chrysitis non lavée, dans laquelle on fait cuire l'or, de chaque partie égale, triturer. Autre, sèche : spode lavée, chrysitis, écume de cuivre, de chaque partie égale, triturer. Autre : jus de raisins verts et spode de Chypre; il faut exprimer le jus du raisin vert déjà gros à travers un linge dans un vase de cuivre rouge, mêler un tiers de vinaigre blanc aussi fort que possible, faire cuire ainsi au soleil en agitant cinq fois par jour; quand le suc s'épaissit, y jeter

in not.) διατρίβειν vulg. – ἄπλυτος· ἐναφεψεῖν χρυσῖτιν, καὶ ταύτας ἀλλήλας διατρίβειν Lind. – ἄπλ. ενῃ (sic) ἀφέψεται τὸ χρύσιον (sic) ἴσα ἀλλήλοις λία τρίβειν θ. — [8] χρυσῆτις C. – λία θ. — [9] καὶ om. θ. – κυπρία vulg. – κυπρίη θ. – χαλκεῖον vulg. – χαλκαῖον C. – χαλκὸν θ. – οὕτως vulg. – οὕτω θ. – λίην ἐμβάλλειν θ. – ἀναμῖξαι· ὅταν δὲ (δὲ om. C, Ald.) ἑκτ. ἢ ἑ. ᾖ ὁ χ. ἐν τ. ἡ. κ. ἐς vulg. – ἀναμίξαι, ἐμβάλλειν δὲ τὴν σποδὸν ὅταν ἑκ ἢ ἑβ. ὁ χυλὸς ἐν τῷ ἡλ. χείμ., ἢ ἐς θ. – ἔλαττω vulg. – ἐλάσσω θ. – Post μαλθ. addit ἢ C. – πλείω θ

ὁ χυλὸς, σποδὸν τῆς κυπρίης τῆς χαλκίτιδος λείην ἐμβαλεῖν καὶ ἀναμῖξαι, ἐμβάλλειν δὲ τὴν σποδὸν, ὅταν ἑκταῖος ἢ ἑβδομαῖος ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος ᾖ, ἐς κοτύλην ἀττικὴν τοῦ χυλοῦ τῆς σποδοῦ δραχμὰς ὀκτώ· ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάσσω τὴν σποδόν· ἐὰν δὲ μαλθακώτερον, πλέω· μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσαι [1]φθόεις· εἶτα ἐγξηραίνειν, κρεμάσας ἄνω ὑπὲρ καπνοῦ, καὶ οὕτω ξηραίνειν μέχρις οὗ ὀστρακῶδες γένηται, ὥστε τριβόμενον μὴ ξυστρέφεσθαι, εἶθ' οὕτως χρῶ· κείσθω δὲ ὅκου ἰκμάδα μὴ ἕξει. Ἕτερον ξηρόν· σποδὸς, χαλκῖτις ὄξει [2]πεφυρμένη λευκῷ, εἶτα φθόεις ποιήσας ξηρῆναι· ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν.

105. Ὑπαλείφειν ὀφθαλμόν· μέλι ὡς κάλλιστον καὶ οἶνον παλαιὸν γλυκὺν ἑψεῖν ὁμοῦ. [3]Πρὸς ἄργεμον· αἰγείρου δάκρυον, γάλα γυναικεῖον μίξας χρῶ. Ἐὰν ὀφθαλμὸς δακρύῃ καὶ ὀδύνη ἔχῃ· ῥοιῆς γλυκείης τὸν χυλὸν ἐκπιέσας, ἐν [4]χαλκείῳ ἑψεῖν ἐν πυρὶ μαλθακῷ, μέχρι οὗ παχὺ γίνηται καὶ μέλαν ὥσπερ πίσσα· [5]ἐὰν δὲ θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι· εἶτα ὑγρῷ ὑπαλείφειν. Ἐὰν δὲ δακρύῃ καὶ [6]γλαμυρὸς ᾖ ὁ ὀφθαλμὸς, ὅταν ἡ σταφυλὴ ἡ λευκὴ πέπειρος ἰσχυρῶς καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ, ἐπιδρέψας ἐξηθῆσαι, εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ· ὅταν δὲ ξηρὸν ᾖ, ἀποξέσαι, μῖξαι δὲ ἴου ἡμιωβόλιον ἀττικῷ σταθμῷ· εἶτα τούτῳ ὑπαλείφειν. [7]Παράπαστον· μόλιβος κεκαυμένος καὶ σποδὸς ἴσα, σμύρνης δέκατον μέρος, ὀποῦ μήκωνος σμικρὸν, οἶνος παλαιός· ξηρὰ τρίψας χρῶ. [8]Σκίλλα, καὶ σποδοῦ τρίτον μέρος, καὶ ψιμυθίου, τρίτον μέρος χάρτου κεκαυμένου, μέρος δέκατον σμύρνης.

[1] Φθοεῖς vulg. – φθόεις Lind. – εἶτ' θ. – κρεμάσαι δ' ὑπὲρ θ. – οὕτως vulg. – οὕτω θ. – μέχρι sine οὗ θ. – ξυντρέφεσθαι vulg. – ξυστρέφεσθαι Foes in not., Lind. – συνστρέφεσθαι θ. – δὲ om. θ. – ὅπου θ. — [2] πεφυρημένη θ. – φθοεῖς vulg. – φθόεις Lind. – ποιήσας, ξήραινε δέ (ξηρῆναι pro ξ. δέ θ)· ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν (ξηρήνης, λίον τρίβων θ), ὑπαλείφειν ὀφθαλμὸν (ὀφθαλμῶν θ) μὲν (μέλι pro μὲν θ) ὡς vulg. – Je mets un point avant ὑπαλείφειν. — [3] ἐς θ. – ἄργημον vulg. – ἄργιμον C. – ἄργεμον θ. – Erot., p. 66 : ἄργεμον, πάθος τι περὶ τοὺς ὀφθαλμοὺς λευκωματῶδες, ὃ δὴ ἐκ τῆς παρεπομένης λευκότητος ὠνομάσθη. – αἰγίρου C, Ald., Frob. — [4] χαλκέῳ vulg. – χαλκέα C. – χαλκείῳ Lind. – χαλκίω θ. – ἐν πυρὶ μαλθακῶ μέχρι οὗ παχὺ γένηται θ. – ἐν.... γένηται om. vulg. – Ante μέλαν addit [ποιεῖν] Lind. – πίσαν Ald., Frob. – πίσσαν vulg. – πίσσα θ. — [5] [καὶ] ἐὰν Lind. – δὲ θ. – δὲ om. vulg. — [6] πλαμυζος (sic) θ. – γλυκύμυρος (sic) C, Ald. – στ. ἢ (ἡ θ) λευκὴ vulg. – πέπειρα θ. – Post ἰσχυρ. addit ἢ θ. – ἰσχνῆ C. – ἀπέλω (sic) C. – ᾖ om. θ. – δρέψας ἐξωθῆσαι (ἐξωθῆναι C ; ἐξηθῆσαι Foes in not., Lind.) vulg. – ἐπιδρέψας

la spode de la chalcitis de Chypre triturée et mêler ; la spode ne doit être jetée que quand le suc est resté au soleil six ou sept jours, huit drachmes de spode pour chaque cotyle attique de suc ; si vous voulez que ce soit plus âcre, mettez moins de spode ; plus doux, mettez-en davantage ; on sèche jusqu'à ce qu'il soit possible d'en faire des pastilles ; puis faire dessécher, en suspendant au-dessus de la fumée, jusqu'à ce que cela devienne comme un têt, de manière que, pilé, il ne s'y forme pas de grumeaux ; c'est dans cet état qu'on s'en servira ; on tiendra ce médicament là où il n'y aura pas d'humidité. Autre, sèche : spode, chalcitis, pétrir avec du vinaigre blanc, faire des pastilles, sécher, triturer après la dessiccation.

105. (*Différentes préparations ophthalmiques.*) Pour employer en onction sur l'œil : miel aussi beau que possible, vin vieux doux, faire cuire ensemble. Pour l'argémon : larme de peuplier, lait de femme, mêler et s'en servir. Quand l'œil pleure et est douloureux : exprimer le jus d'une grenade douce, faire cuire en un vase de cuivre sur un feu doux, jusqu'à ce qu'il devienne épais et noir comme de la poix ; si on est en été, l'exposer au soleil ; puis oindre avec cette préparation humide. Si l'œil est larmoyant et chassieux : quand le raisin blanc est très-mûr et s'amincit sur la vigne, le cueillir, en exprimer le jus, le sécher au soleil, le racler après la dessiccation, y mêler du vert-de-gris à la dose d'une demi-obole attique, et oindre. Médicament en poudre : plomb calciné, spode, parties égales, myrrhe une dixième partie, un peu de suc de pavot, vin vieux, sécher, piler et s'en servir. Scille, un tiers de spode et de céruse, un tiers de papyrus brûlé, un dixième de myrrhe.

ἐξηδῆσαι θ. – ἐπιδρέπειν n'est pas dans les lexiques. – ἀποξῦσαι θ. – [καὶ] μίξαι Lind. – δὲ θ. – δὲ om. vulg. – ἡμιοβόλιον vulg. – ἡμιοβέλιον Cθ. — [7] παράπαστον μόλιβδος κεκαυμένον σποδοῦ ἴσον σμύρνης θ. – παραπαστὸν vulg. – μόλιβος καὶ σποδὸς ἴσα, σμ. vulg. – μικρὸν C. – ξηρήνας pro ξηρὰ θ. — [8] σκίλλα κεκαυμένη, σποδοῦ τρ. μ., βυβλίον (sic) κεκαυμένον, ψιμύθιον τρίτον μ., σμύρνης δέκατον θ. – ψιμιθίου Frob. – κεκαυμένου μέρος δέκατον, σμύρνης [ἴσον] Lind.

106. Εἰ βούλει ἐκ τοῦ σώματος τρίχας ἀπελάσαι· δακρύῳ ἀμπέλου ἀλείφειν ἐλαίῳ· [1]ἢν δὲ καὶ τὸν ὀφθαλμὸν βούλῃ, ἀποδρέψας ἀλείφειν. Ἀλκυόνιον κατακαύσας, ἔπειτα τρίψας λεῖον, οἴνῳ διεὶς, ἐπαλείφειν· καὶ ἄπεισι σὺν λεπτῷ δέρματι, καὶ ἔσται ἐρυθρὸν καὶ εὔχροον.

107. [2]Λειεντερίης· φακοὺς, πυροὺς σιτανίους ὅσον δύο χοίνικας βρέξας, ἐπειδὰν μαλθακοὶ ὦσι διατρωγόμενοι, ἰσχυρῶς ποιῆσαι λείους ἐν ὅλμῳ ἢ ἐν θυΐῃ· ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἓξ, καὶ ἀνακινῆσαι ἰσχυρῶς· ὅ τι δ' ἂν ἀπέλθῃ, ἐγχέας ἐς χύτρην, ἑψεῖν, μέλι ὀλίγον παραχέας· ἐπειδὰν δὲ ἑφθὸν ἰσχυρῶς γένηται, φρύξας διδόναι ἐσθίειν τούτου· ἢν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον· τουτέῳ χρήσθω, ἄχρις ἂν ὑγιὴς γένηται.

108. [3]Ἢν δὲ κόρυζαν ἔχῃ, σμύρναν τρίψας λεῖα, καὶ μέλι μίξας, ὀθόνιον ἀναποιήσας, τὰς ῥῖνας τρίβειν.

109. Κλυσμὸς φλέγμα [4]ἄγων· θαψίης πόσιν, ἢ ἀσταφίδος ὅσον τεσσαράκοντα κόκκους, ἢ κνιδίου πόσιν, ἢ κνήστρου· μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον, διιέναι θαλάσσῃ, πίτυρα ἐναφεψήσας ἢ πτισάνην, μέχρις οὗ λιπαρὰ γένηται, ἢ στέατος, ἢ τεύτλου χυλῷ [5]μούνῳ, ἢ γάλακτι ἑφθῷ, ἢ ἀκτῆς χυλῷ, ἢ λινοζώστιος χυλῷ· παραμίσγειν δὲ [6]νίτρου ὅσον δέκα δραχμὰς, ἢ ἁλὸς τρυβλίον, πλὴν ἐς θάλασσαν. [7]Ἢν δὲ θέλῃς χολὴν ἄγειν· ὀποῦ πόσιν, ἐλατηρίου ὁλκὴν καὶ ἥμισυ, κολοκυνθίδος τρῖψαι δραχμὴν σταθμόν· διιέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. [8]Ἢν δὲ σφοδρότερον θέλῃς ἄγειν, σικύης ἐντε-

[1] Ἐὰν vulg. – ἢν θ. – ἀλκυόνιον κατακαύσας, ἔπειτα τρίψας λίον, οἴνω διεὶς, ἐπαλείφειν θ. – ἀλκ.... ἐπαλείφειν om. vulg. – ξὺν Lind. – ἐρυθρὸς καὶ εὔχροιος vulg. – ἐρυθρὸν καὶ εὔχροον θ. — [2] λιεντερίης θ, Ald. – λιεντερίας C. – σητ. Cθ. – διατρωγωμένη vulg. – διατρωγώμενοι Ald., Frob. – διατρωγόμενοι θ. – ὦσιν ὡς διατρωγόμενοι Foes in not., Lind. – λίους θ. – ὀλμῷ (sic) Frob. – θυείᾳ vulg. – θυίᾳ Lind. – θυίῃ θ. – ἀνακεινῆσαι θ. – χύτραν vulg. – χύτρην θ. – ἐπειδὰν (addit δὲ θ) ἐφ. vulg. – ἐὰν vulg. – ἢν θ. – διψᾷ θ. – τούτω χρῆσθαι ἄχρι ὅτου ὑγιὴς θ. — [3] ἐὰν vulg. – ἢν θ. – λίην θ. – ποιήσας vulg. – ἀναποιήσας θ. – θύνας (sic), in marg. ῥίνας C. — [4] ἄγει Cθ. – Je prends ἀσταφὶς pour la staphisaigre. – κνηδίου C. – κνῆστρον Cθ. – διεῖναι θαλ. ἢ πιτύρια θ. – μέχρι θ. – σπιτος (sic) pro στέατος θ. – τεύτλων θ. — [5] μούνω ἢ γάλακτι ἐφθῶ ἢ ἀκτῆς χυλῶ ἢ λινοζώστιος χυλῶ θ. – μούνῳ.... χυλῷ om. vulg. — [6] λίτρον θ. – τρ. πλεῖον (πλὴν pro πλ. θ) ἐς vulg. — [7] ἐὰν vulg. – ἢν θ. – δ' ἐθέλῃς C. – βούλῃ θ. – ἡμίσιαν (sic) κολοκυνθίδας θ. – διεῖναι δὲ

106. (*Dépilatoires.*) Si vous voulez faire tomber les poils du corps, oindre avec la larme de la vigne et de l'huile; et même pour l'œil, arrachez le poil et oignez. Halcionium, brûler, triturer, mouiller avec du vin, et oindre ; le poil s'en va avec une pellicule, et la place reste rouge et de bonne couleur.

107. (*Pour la lienterie.*) Pour la lienterie : lentilles, blé de printemps, deux chénices, mouiller ; puis, lorsqu'ils sont mous sous la dent, les broyer très-bien dans un mortier, verser six cotyles d'eau, et remuer fortement; puis mettre dans un vase ce qui se sépare pour aller au fond, ajouter un peu de miel, et faire cuire ; quand cela est bien cuit, faire frire et en donner à manger; si le malade a soif, il boira du vin très-vieux; et il se servira de ce remède jusqu'à ce qu'il guérisse.

108. (*Pour le coryza.*) S'il y a coryza, bien triturer de la myrrhe, mêler du miel, enduire un linge, frotter les narines.

109. (*Lavements purgatifs pour la pituite, pour la bile. Lavement pour amener une évacuation stercorale. Lavement pour la dysenterie. Lavements pour le ténesme.*) Lavement amenant la pituite : thapsie une potion, ou quarante grains de staphisaigre, ou une potion de grains de Cnide ou de cnestron; mêler une demi-cotyle de miel, autant d'huile, délayer soit avec de l'eau de mer où a bouilli du son ou du gruau d'orge jusqu'à épaississement, soit avec de l'eau de pâte, soit avec de l'eau seule de bette, soit avec du lait cuit, soit avec de l'eau de sureau, soit avec de l'eau de mercuriale; mêler nitre dix drachmes, ou un tryblion (*espèce de petit vase*) de sel, excepté dans le cas où l'on se sert d'eau de mer. Si vous voulez évacuer la bile, silphion une potion, élatérion une drachme et demie, courge une drachme, piler, mouiller de la même façon que dans la préparation précédente Si vous voulez une action plus forte, concombre sauvage, le dedans, quatre drachmes,

τοῖς θ. – καὶ τὸ πρ. θ. — [8] ἐὰν vulg. – ἢν θ. – δὲ om. θ. – σφ. om. Cθ, Ald. – ἐθέλῃς ἄγων C. – ἐντ. τέταρτον δραχμῆς (τέσσερας δραχμὰς θ) ἀπ. vulg. – τούτῳ θ. – ἐξελθόντος θ.

ριώνην, τέσσαρας δραχμὰς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τουτέῳ κλύσαι, καὶ ἐὰν ἐξελθὼν δάκνῃ, μετακλύσαι πτισάνης χυλῷ. Ἕτερον· [1] ἐν γάλακτι ἑφθῷ ὀνείῳ, ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις ἀποβρέχειν τὴν ἐντεριώνην, παραμίσγειν δὲ ἅλας καὶ μέλι καὶ ἔλαιον, μετακλύζειν δὲ πτισάνης χυλῷ. [2] Ἕτερον· κολοκυνθίδος δραχμὴν τρίψας καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν τὰ αὐτά. [3] Ἕτερον· ἐντεριώνης δραχμὴν, ἐλατηρίου πόσιν, σολόμης ὅσον τοῖσι τρισὶ δακτύλοις, μέλι, ἔλαιον, διιέναι θαλάσσῃ. [4] Ἢν δὲ κόπριον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον, τοῖσι δὲ ἄλλοισι χρῶ. Δυσεντερίης κλυσμός· ἐν οἴνῳ σίδια ῥοιῆς γλυκείης [5] ἑψῆσαι ὡς πλεῖστα, ἑψεῖν δὲ μέχρις οὗ τὸ ἥμισυ λειφθῇ, μίσγειν δὲ μέλι, ἔλαιον, τεταρτημόριον κοτύλης ἑκατέρου. Τεινεσμοῦ· λιβανωτοῦ τέσσαρας δραχμὰς, μύρου ῥοδίνου ἡμικοτύλιον, πτισάνης χυλὸς, θάλασσα ἑφθή. Ἐλλεβόρου δύο [6] πόσιας τρίψας, ὕδατος διεὶς ἡμικοτυλίῳ, ἐλαίου ἴσον κλύζειν. Χυλὸν ἐγχέας ἐς σκαφίδα, μῆλα κυδώνια [7] κατατάμνειν, καὶ ἐᾶν ἐκβρέχεσθαι· ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. Πτισάνης [8] λέκιθον ἐμβαλὼν ἐς χοέα ὕδατος, ἕψε μέχρι λιπαρὸς γένηται, ψύξας δὲ, τὰ μῆλα κατατάμνειν, κηρίον δὲ καταβρέξαι ἐν ὕδατι, καὶ ἅμα τρίβειν, ἔστ' ἂν ὑπόγλυκυ ᾖ, καὶ διηθήσας, ἐμβάλλειν σελίνου φύλλα. Ἕτερον· ἀσταφίδα λευκὴν ἐς ὕδωρ [9] ἐμβαλὼν, καλαμίνθην ἢ κορίον ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

[1] Ἐν θ. – ἐν om. vulg. – ἢ om. θ. – ἐναποβρέχειν vulg. – ἀποβρέχειν θ. – δὲ Cθ. – δὲ om. vulg. – ἅλα Cθ. — [2] ἕτερον θ. – ἕτ. om. vulg. – καὶ om. θ. – ταῦτα pro τὰ αὐτὰ θ. — [3] ἕτερον θ. – ἕτ. om. vulg. – γολόμης θ. – ἅλμης pro σολόμης Cornar., Lind. – Ce mot inintelligible paraît altéré; je l'ai laissé en blanc. La conjecture de Cornarius ne semble pas bonne, à cause de θαλάσσῃ qui suit. – τοῖς vulg. – τοῖσι θ. – διεῖναι θ. — [4] ἐὰν vulg. – ἢν θ. – ἄγειν θ. – μίσγειν pro πίνειν θ. – φάρμ. om. θ. — [5] ἑψήσας vulg. – ἑψῆσαι θ. – μέχρι sine οὗ C. – ὡς pro μ. οὗ θ. – λιφθῇ θ. – μίσγειν δὲ ἔλαιον (μιέλαιον sic C) vulg. – μίσγειν δὲ μέλι ἔλαιον θ. – κοτύλης, ἑκατέρου τὴν ἑτέρην. Λιβανωτοῦ τέταρτον δραχμῆς, μύρου vulg. – κοτύλης, λιβανωτοῦ τέταρτον δραχμῆς. Ἕτερον· μύρου Lind. – κοτύλης ἑκατέρου. Τηνεσμοῦ λιβανωτοῦ τέσσερας δραχμὰς μύρου θ. — [6] φύσιες θ. – Je pense qu'une nouvelle formule commence à ἐλλεβόρου. – ἡμικοτύλιον vulg. – ἡμικοτυλίω θ. – κλύζειν χυλῷ ἐγχέας ἐς σκαφίδα. μῆλα vulg. – Ceci ne m'a pas paru intelligible; par conjecture donc, je mets un point après κλύζειν et je lis χυλὸν, ôtant le point après σκαφίδα. — [7] κατατέμνειν θ. – βρέχεσθαι θ. — [8] λέκυθον vulg. – λέκινθον C, Ald. – λέκισκον (sic) θ. – χόεα C. – ἑψεῖν θ. – ψύξας (ἑψήσας pro ψ. Calvus, Foes, Lind.) δὲ τὰ μ. ἢν κατατάμνῃ (κατατέμνειν θ) κηρίον καταβρέξαι δὲ ἐν

mouiller avec une demi-cotyle d'eau, et faire prendre en lavement; si ce lavement excite de la cuisson en sortant, en administrer un second avec l'eau de gruau d'orge. Autre : lait d'ânesse cuit, ou bien eau de bette, trois cotyles, mouiller le dedans d'un concombre sauvage, mêler sel, miel et huile, puis administrer un second lavement avec l'eau de gruau d'orge. Autre : courge une drachme, piler après avoir mouillé avec du lait d'ânesse, et mêler les mêmes substances. Autre : intérieur de concombre sauvage une drachme, élatérion une potion, une pincée (*voy. note* 3), miel, huile, mouiller avec de l'eau de mer. Si vous voulez produire une évacuation stercorale, ne boire aucun évacuant, mais se servir du reste. Lavement pour la dysenterie : faire cuire dans du vin autant d'écorces sèches de grenades douces qu'on pourra, jusqu'à réduction de moitié, ajouter miel, huile, de chaque un quart de cotyle. Pour le ténesme : encens quatre drachmes, huile de rose demi-cotyle, eau de gruau d'orge, eau de mer bouillie. Ellébore deux potions, piler, mouiller avec une demi-cotyle d'eau, autant d'huile, injecter. Mettre de l'eau de gruau dans un vase, couper des coings, les y laisser macérer, et, quand l'eau a l'odeur du fruit, la donner à boire. Jeter de la bouillie de gruau d'orge dans un conge d'eau, faire cuire jusqu'à ce que l'eau devienne grasse, laisser refroidir, couper les coings, mouiller avec de l'eau un rayon de miel, broyer tout ensemble, jusqu'à ce que la préparation devienne un peu douce, passer, et jeter des feuilles d'ache. Autre : jeter dans de l'eau raisin blanc sec, calaminthe (*melissa altissima*, d'après Fraas) ou coriandre, piler jusqu'à ce que l'eau devienne un peu douce.

vulg. – Je prends l'infinitif de θ, dès lors je supprime ἦν et déplace δέ. – ἀνατρίβειν pro ἅμα τρίβειν θ. – ὅταν (ἔστ' ἂν θ) ὑπ. vulg. — [9] ἐμβάλλων θ.

FIN DU PREMIER LIVRE DES MALADIES DES FEMMES.

ΓΥΝΑΙΚΕΙΩΝ

ΤΟ ΔΕΥΤΕΡΟΝ.

110. [1]Ῥόος λευκὸς ἐν τῇσι γεραιτέρῃσι τῶν γυναικῶν μᾶλλον γίνεται ἢ ἐν τῇσι νεωτέρῃσι· ῥόος [2]πυῤῥὸς ἐν ἀμφοτέρῃσι· ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσιν. [3]Καὶ ῥόος ἐρυθρὸς μὲν γίνεται ἐκ πυρετοῦ, μᾶλλον δὲ ἐκ τρωσμοῦ· γίνεται δὲ καὶ ἐξ ἀπολήψιος ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταῤῥαγῇ· γίνεται δὲ καὶ ἐκ [4]τόκων. Αἷμα ῥέει πάμπολυ, καὶ θρόμβοι ἐκπίπτουσι, καὶ ὀδύνη γίνεται τῶν κληΐδων καὶ τῶν τενόντων, καὶ νάρκη τοῦ σώματος ἀπόψυξίς τε τῶν σκελέων· ἐνίοτε δὲ [5]καὶ ἤρεισε τοὺς ὀδόντας, ἢν πλέον ᾖ τὸ αἷμα [6]τὸ ἀπιὸν, καὶ ἄναυδοι γίνονται, καὶ ἱδρὼς καταχεῖται πουλύς· πρὸς δὲ τούτοις καρδιωγμοί τε γίνονται, καὶ περιψύξιες, καὶ πυρετοὶ ἀκρητόχολοι καὶ ἀλυσμώδεες, καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις [7]ῥιγέουσι, καὶ αὖθις ἱδροῦσι, καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφίσιν, ἄλλοτε [8]δὲ ἀπὸ τῶν κάτω, καὶ ἐς τοὺς βουβῶνας ὀδύναι ὀξεῖαι ἐμπίπτουσι καὶ ἰσχυραὶ, φοιτέουσαι ὥσπερ ὠδῖνες· ἐνίοτε δὲ καὶ στραγγουρίη· καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα [9]πιέζει, καὶ ἡ γλῶσσα τρηχείη, καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν οἱ μεγάλοι, [10]καὶ τὰς γαστροκνημίας αἰεὶ τῷ μηρῷ ξυντιταίνεται, καὶ τῆς ὀσφύος περιωδυνίαι, καὶ τῶν χειρέων ἀκρασίη. Ὁκόταν

[1] Avant ῥόος Linden a mis un long morceau commençant par αἱ ὑστέραι et finissant par τὰ καταμήνια καλεύμενα. Ce morceau appartient au livre des Lieux dans l'homme; voy. t. VI, p. 344, § 47. – ῥόος [δὲ] Lind. — [2] πυρὸς CFGHIK. — [3] καὶ om. Cθ. – καὶ ῥόος μὲν ἐρ. DFHIJK. – μὲν om. Cθ. – πυρετῶν Cθ. – δ' θ. – τρωσμῶν Cθ. – ἀπολήψεως vulg. – ὑπολείψεως J. – ἀπολήψιος CDHIKθ, Lind. – ἐπιμηνιαίων C. – ὁπόταν ἀποκλησθέντα θ. – ὁκόταν IJ. — [4] τόκων καὶ ἐκ πυρετῶν (καὶ ἐκ π. om. θ). Αἷμά τε (τε om. θ) vulg. – ῥεῖ θ. – ἐγγίνεται θ. – τοῦ om. θ. – Post σώματος addit καὶ ἀρτηρίης θ. — [5] καὶ ἡ ῥὶς (ειρησε sic pro ἡ ῥὶς θ) ἐκχεῖ (ἐκχεῖ om. Cθ) ἐς (ἐς om. θ) τοὺς vulg. – Je lis ἤρεισε. – ἣν [δὲ] πλέον Lind. – πλέονι θ. – πλεομένη pro πλ. ᾖ C. — [6] τὸ θ. – τὸ om. vulg. – καὶ ἄναυδοι γίνονται θ. – καὶ ἄν. γίν. om. vulg. – καὶ ἱδρώς τε C. – ἱδρώς τε sine καὶ θ. – κατέχηται θ. – πρὸ C. – τουτέων Cθ. – περιψύξηες C. – κνησμώδεες vulg. – κλυσμώδεες C (D, al. manu κνησμώδεες) FGHIKL, Ald. – ἀλυσμώδεες θ. — [7] ῥιγεῦσι θ. – ἱδρέουσι (sic)

DES MALADIES DES FEMMES.

LIVRE DEUXIÈME.

110. (*Écoulement rouge ou métrorrhagie.*) L'écoulement blanc survient plutôt chez les femmes d'un certain âge que chez les jeunes; l'écoulement roux, chez les unes et les autres; l'écoulement rouge, chez les jeunes. L'écoulement rouge vient à la suite de la fièvre et surtout de l'avortement; il vient aussi à la suite de la suppression des règles, quand, retenues, elles font une éruption soudaine; il vient enfin à la suite d'accouchements. Du sang s'écoule en abondance, des caillots s'échappent; douleur aux clavicules et aux tendons, engourdissement du corps, refroidissement des membres inférieurs; parfois aussi grincement de dents, si le sang coule trop abondamment, perte de la parole, sueur profuse. A cela s'ajoutent cardialgie, refroidissements intenses, fièvres à vomissement de bile pure et avec jactitation; dans le même jour il y a plusieurs fois frisson et puis sueur; il vient des spasmes tantôt des parties supérieures, tantôt des parties inférieures; aux aines se font sentir des douleurs aiguës et fortes, allant comme des tranchées d'accouchement; parfois encore il y a strangurie; la bouche est sèche, la soif pressante, la langue rude, les gros orteils se contractent, et les mollets se convulsent constamment en même temps que les cuisses; douleurs intenses des lombes, et impuissance des

καὶ αὖθις ῥιγοῦσι J. – καὶ αὖ. ἵδρ. om. θ. – ἱδρὼς pro ἵδρ. C. – μὲν om. θ. – σφ. γέν. Cθ. – σφῆσιν DFHIJK. — [8] δὲ om. θ. – Ante δὲ addit τε K. – ὀδ. αἱ (αἱ om. DFGHIJKL) ὀξ. vulg. – ὀδ. σφίσιν ξυμπίπτουσιν ὀξεῖαί τε καὶ ἰσχ. φοιτῶσαι θ. – ὥσπερ ὠδ. φοιτ. J. — [9] ἔχει Cθ. – ἡ om. θ. – τρηχεῖα vulg. – τρηχείη Cθ. – τρηχεία FI. – τραχεῖα K. — [10] καὶ ἐς (εἰς J; ἐς om. θ) τὰς γαστρ. αἰεὶ (ἀεὶ J) τῷ (τῷ om. θ) μηρῷ (τὼ μηρὼ J) ξυντιταίνῃ (ξυντιταίνει CK, Frob., Lind.; ξυντεταίνει J; ξυντετένει FG; ξυντείνει D; ξυντειτένει H; ξυντιτένει I, Ald.; ξυντιταίνεται θ) vulg. – περιδυνίῃ C. – περιωδύνεται θ. – χειρῶν θ. – ὅταν θ. – γένηται K. – ᾖ C. – γίνεται Ald. – τότε καὶ om. θ. – σφαγίας DHKQ', Lind.

δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι ἀπὸ τῶν κληΐδων κατὰ τὰς σφαγὰς ἐς τὰς γνάθους [1] καὶ τὴν γλῶσσαν, ἐκ δὲ τῶν τοιουτέων ὀλίγῳ ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν, καὶ ὧδε ἀπόλλυνται κατὰ βίην. Προλέγειν οὖν δεῖ ἀρχομένων τῶν ῥόων, διαιτῆν δὲ τόνδε τὸν τρόπον· πρωῒ μὲν διδόναι [2] πρὸς τοὺς ῥόους φάρμακον πίνειν, ὧν ἂν ἐγὼ γράψω, οὗ ἂν δοκέῃ δεῖσθαι μάλιστα, διδόναι δὲ καὶ τρὶς καὶ τετράκις· καὶ ἢν πουλὺ ἀπίῃ τὸ αἷμα, διαιτῆν οὖν, [3] ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν· ἢν δὲ πυρεταίνωσι, ῥοφήμασιν. Ἔστι δὲ τῶν μὲν ῥοφημάτων τάδε ἐπιτηδειότατα· ἔλυμος, φακῆ, ἄλητον ἑφθὸν σητάνιον, χόνδρος κάθεφθος [4] ῥοφητὸς, ζειὰ κάθεφθος· τῶν δὲ πομάτων, πάλη ἀλφίτου ἐφ' ὕδατι, καὶ τὰ κνήσματα τὰ ἀπὸ τῶν ἄρτων κεκομμένα, καὶ ἄλφιτα προκώνια λεπτὰ [5] βεβρεγμένα ἐν ὕδατι, ἐλλείχειν ἄναλτα· τῶν δὲ σιτίων, ἄρτος ἔξοπτος ἐν σποδιῇ· ὄψον δὲ λαγωοῦ κρέας, πελιάδος, φάσσης, καὶ ἑφθὰ καὶ ὀπτὰ, ἐρίφου κρέας ὀπτὸν, [6] μηδενὶ περιπεποιημένον, ἐς ὄξος ἐμβάπτων, ἧπαρ ἐν σποδιῇ ὀπτὸν αἰγὸς ἢ βοὸς, ὠῶν ὀπτῶν λέκιθοι, τυρὸς ἄναλτος· λαχάνων [7] δὲ μηδέ τινος γεύεσθαι, μήτε ἑφθῶν μήτε ὠμῶν, καὶ λουτρῶν ἀπέχεσθαι, καὶ ἐπιδέειν τὼ χέρε εἰρίῳ ῥερυπωμένῳ στρέψαντα καὶ παχετὸν ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ [8] τῶν ἰγνύων ὑπὲρ τῶν γουνάτων, καὶ [9] σικύας ἀείρειν ἐπάρας μαζοὺς ὑπ' αὐτέους, ἄλλοτε μὲν ἐς τὰ δεξιὰ, ἄλλοτε δὲ ἐς τὰ λαιά· ἢν δὲ δύσπνοια γένηται πρὸς τὴν πρόσβλησιν τῆς σικύης, ἀφαιρέειν τὴν

[1] Τε καὶ Cθ. – τοιούτων θ. – ῥάχιν ἐς ὀσφῦν (ὀσφὺν D, Frob., Lind.) (ἐς ὀσφ. om. θ), καὶ ὧδε vulg. – Post βίην addit γε δίκην θ. – διαιτεῖν C. – διαιτᾶν θ. – δὲ θ. – δὲ om. vulg. – τῶδε τῶ τρόπω Cθ. — [2] πρὸ τοῦ ῥόου θ. – τῶν pro ὧν Ald. – γράψω θ. – γράφω vulg. – δὶς pro τρὶς θ. – κἢν θ. – διαιτεῖν C. – διαιτᾶν θ. – δὲ pro οὖν θ. — [3] εἰ D. – ἄπυροι ἐῶσι θ. – τροφήμασιν pro ῥοφ. θ. – μὲν om. DH. – φακὴ vulg. – φακῆ K. – σιτάνιον K. — [4] ῥοφ.... κάθ. om. C. – πωμάτων θ. – πάλιν pro πάλη C. – κλύσματα (κλάσματα Foes in not., Lind.; κνήσματα θ) (addit τὰ θ) ἀπὸ vulg. – ἐκεκομμένα (sic) J. – Sans doute pour ἐκκεκομμένα. – Post κεκ. addit λία θ. – προκρήνια C (D, restit. al. manu) FGHIJK, Ald. — [5] κεκομμένα pro β. J. – β. ἐν ὕδατι om. L. – ὕδατι ἃ καὶ (ἃ καὶ om. Cθ) ἐλλ. (ἐλλίχειν θ; ἐλείγχειν sic C) vulg. – ἀνάλατα (sic) C. – ἀναλτάτων δὲ σιτίων θ. – σποδίη θ, Ald., Frob. – σποδῶ C. – ἔψον pro ὄψον C. – πελειάδος JK. – ἐρίφου τε (τε om. Cθ) κρ. vulg. — [6] μηδενὶ πέπερι (πεπέρει J; πέπ. om. θ) πεποιημένον vulg. – Je lis περιπεποιημένον. – ἧπάρ τε (τε om. Cθ) vulg. – σποδίη Cθ, Ald., Frob. – ὠοῦ (ὠὸν C; ὠῶν θ) τὸ (τὸ om. Cθ) λεπτὸν (ὀπτῶν θ; λευκὸν LQ', Lind.) ἢ (ἢ om. θ) ὁ (ὁ om. Cθ) λέκιθος

bras. A ce point, des convulsions se font sentir ordinairement des clavicules jusqu'aux mâchoires et à la langue, le long des jugulaires, et puis peu après en arrière dans les tendons du rachis; et de la sorte les femmes succombent à la violence du mal. Il faut annoncer le pronostic au début des écoulements et prescrire ainsi le régime : le matin, donner, pour les écoulements, un des évacuants que j'écrirai, celui qui paraîtra le mieux convenir, et le donner trois et quatre fois; si le sang coule abondamment, nourrir, en cas d'apyrexie, avec des aliments solides; en cas de fièvre, avec des potages. Parmi les potages ceux-ci sont les plus convenables : le panic, la lentille, la farine de blé de printemps cuite, le gruau bien cuit, l'épeautre bien cuit. Quant aux boissons, fine farine d'orge dans de l'eau, raclure de pain, gruau d'orge récent, fin, dans de l'eau, à prendre sans sel. Aliments de céréales, pain très-cuit sous la cendre; plats, viande de lièvre, de pigeon, de ramier, bouillie et rôtie, viande de chevreau rôtie, saucée dans du vinaigre sans autre préparation, foie de chèvre ou de bœuf grillé sous la cendre, jaunes d'œuf grillés, fromage sans sel; point d'herbages, ni bouillis, ni crus; point de bains. Attacher les bras avec de la laine en suint enroulée et nouée au-dessus des coudes; en faire autant pour les jambes, au-dessus des genoux; mettre, soulevant les mamelles, sous les mamelles mêmes, des ventouses tantôt à droite, tantôt à gauche; retirer la ventouse, si l'application en cause de la dyspnée; ne pas ôter de sang; employer les pessaires que je décrirai, ceux qui sont hémostatiques et conviennent à ces cas-là. Si la femme guérit de tels

(λέκυνθος FG; λέκινθος HIK; λέκιθοι θ) vulg. – Post τυρὸς addit ὀπτὸς θ. — [7] μὴ pro δὲ μηδέ τ. Cθ – μήτ' ὠμῶν θ. – λουτρῶν δὲ sine καὶ C (θ, τε). – ἐπέχεσθαι C. – ἐπιδεῖν vulg. – ἐπιδέειν C. – τὰς χεῖρας θ. – χεῖρε vulg. – χέρε DFHIK. – παγετὸν L. – Schneider, dans son Dict., en mettant cette variante, conjecture qu'au lieu de παχετὸν on doit lire πάγιον. – ποιήσαντι C. – ἀγγώνων C. — [8] τῶν om. CDFHIJθ. – Ante ὑπὲρ addit καὶ θ. — [9] σικύαις vulg. – σικύας C. – αἴρειν θ. – ἀειρέειν D. – ἀνειρέειν (sic) Q'. – ἀνείργειν Lind. – αὐτοὺς θ. – μὲν om. θ. – εἰς (bis) C. – δὲ om. θ. – ἀριστερὰ θ. – γίνηται θ. – βλῆσιν C. – προσβολὴν θ. – ἀφαιρέειν CDθ, Lind. – ἀφαιρεῖν vulg.

σικύην· αἷμα δὲ μὴ [1] ἀπάγειν· προσθέτοισι δὲ χρῆσθαι, οἷσιν ἂν ἐγὼ γράψω τῶν στασίμων τοῦ αἵματος προσθετὰ ποιέοντα τῇσι τοιαύτῃσιν. [2] Ἢν μὲν περιγένηται ἐκ τῶν ῥόων, ἀπιόντος πολλοῦ αἵματος, τό τε χρῶμα ἀφυῶδες, καὶ τὸ πρόσωπον μετάρσιον, [3] καὶ ἐν τοῖσιν ὑποφθαλμίοισιν οἰδήματα, καὶ τὰ σκέλεα ἐπηρμένα, καὶ ἡ ὑστέρη ὑγρὴ, καὶ αἰεὶ ἀνεστόμωται παρὰ λόγον, καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. [4] Τῇσι τοιαύτῃσι χρὴ, ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν νήστιας, καὶ μετὰ τοὺς ἐμέτους ἄριστον διδόναι. [5] Ταύτῃσι ξυμφέρει ὀλιγοποσίη, οἶνος μέλας ἀκρητέστερος, ἀλουσίη, ψυχρολουσίη, περίπατοι, μονοσιτίη, πᾶσα ξηρασίη. Ἢν δὲ πρὸς ταῦτα μὴ καθιστέωνται μηδὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μηδὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, ἀποσκεπτόμενον χρὴ ἐς τὴν δύναμιν τοῦ [6] σώματος, ἢν ᾖ δυνατὴ, ἐλλεβορίζειν· [7] ἢν δὲ μὴ ἐνακούσῃ, τὴν κεφαλὴν καθαίρειν· καθήραντα δὲ τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον, ὅνπερ τὰς ἀτέκνους.

111. [8] Σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν καὶ τὰς χρόας καὶ [9] τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τοὺς τόπους καὶ τὰ πνεύματα. [10] Αἱ μὲν γὰρ ψυχραὶ ὑγραὶ καὶ ῥοώδεες, αἱ δὲ [11] θερμαὶ ξηρότεραί τε καὶ στάσιμοί εἰσιν· [12] αἱ μὲν γὰρ ὑπέρλευκοι ὑγρότεραί τε καὶ ῥοωδέστεραι, αἱ δὲ μέλαιναι ξηρότεραί τε καὶ στρυφνότεραι· αἱ δὲ οἰνωποὶ μεσηγύ τι ἀμφοῖν ἔχουσιν. Καὶ ἀμφὶ τῶν ἡλικιῶν ὡσαύτως [13] ξυμβαίνει· αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπὶ τὸ πουλύ· αἱ δὲ πρεσβύτε-

[1] Ἐπ. D. – τῇ τοιαύτῃ θ. — [2] καὶ ἢν μὲν θ. – τοῦ πολλοῦ C. — [3] καὶ τὰ ὑποφθάλμια οἰδήματα θ. – ὑποφθαλμοισιν vulg. – ὑπ' ὀφθαλμοῖσιν K. – Je lis ὑποφθαλμίοισιν. – ἡ om. C. – ἐστόμωνται vulg. – ἐστόμωται L, Lind. – ἀνεστόμωται θ. – ἐς pro καὶ C. – τὰ πιόντα θ. – Cela doit se lire τἀπιόντα. – ἐπιόντα C. — [4] τῇ τοιαύτῃ θ. – καὶ om. L. – ποιέειν καὶ (καὶ om. Cθ) νηστείας (νήστειας θ) vulg. — [5] ταύτῃ θ. – σ. vulg. – ξ. Cθ, Lind. – ἡ (ἢ C; ἡ om. θ) ὀλ. (ὀλιγοπωσίη θ) vulg. – μέλας CFGHIJKθ. – μέλας om. vulg. – ἀκρητότερος θ. – ἀλ. ἢ (ἢ om. Cθ) ψ. vulg. – καθεστέωνται vulg. – καθιστέωνται CDLθ, Lind. – καθιστῶνται θ. – συνπίπτωσιν θ. — [6] σώ., καὶ (καὶ om. Cθ) ἢν (addit μὲν K) ᾖ vulg. — [7] εἰ J. – ἐνακούῃ θ. – καθήραντι DFGHJK. – ταθήραντι (sic) I. – τρόπον καὶ (καὶ om. C) περὶ (ὅνπερ pro καὶ π. θ) τὰς vulg. — [8] σκέπτεσθαι δὲ χρὴ τὰς θ. – Post δὲ addunt χρὴ CDFGIK, Ald. – χροιας θ. — [9] τὰς om. θ. – καὶ τὰς ὥ. om. K. — [10] αἱ.... εἰσιν om. θ. – Cette omission de θ est réparée plus bas; voy. p. 240, n. 1. – ψυχραὶ, αἱ δὲ (αἱ δὲ om. θ) ὑγραὶ vulg. – ῥοώδεις C. — [11] θερμαὶ μὲν (μεν om. C) ξ. δὲ (τε pro δὲ C) καὶ vulg. — [12] αἱ μὲν.... πνεύματα p. 240, l. 4, om. (DH, restit. al. manu) FGIJK. – ὑγρότεροι

écoulements, ayant perdu beaucoup de sang, elle a le teint blafard, le visage tuméfié, le dessous des yeux gonflé, les jambes enflées; l'utérus est humide, toujours béant contre nature et laissant écouler un liquide semblable à de la lavure de viande crue. Dans ce cas, il faut, si elle a de la force, provoquer des vomissements à jeun, et, après les vomissements, donner à déjeuner. En cet état, peu boire, vin noir assez pur, s'abstenir de bain, se laver à l'eau froide, se promener, ne faire qu'un seul repas, et user de tout ce qui dessèche, voilà ce qui convient. Si, malgré ces moyens, la femme ne se rétablit pas, si l'utérus ne s'affaisse pas, si les flux persistent, il faut, considérant l'état de la constitution, donner, si elle est forte, l'ellébore; si aucun effet n'est produit, purger la tête, et, après cette purgation, employer pour traitement le même régime que dans le cas des femmes qui ne peuvent pas avoir d'enfant (voy. § 75).

111. (*Considérations générales sur les complexions des femmes par rapport aux écoulements.*) Il importe aussi d'examiner la constitution des femmes, leur coloration, leur âge, les saisons, les lieux et les vents. Les unes sont froides, humides et sujettes aux flux; les autres, chaudes, plus sèches et plus serrées. Les femmes très-blanches sont plus humides et plus sujettes aux flux; les femmes noires sont plus sèches et compactes; les femmes brunes tiennent le milieu. Il en est de même pour l'âge; les jeunes sont plus humides et ont beau-

θ. – μέλαναι (sic) H. – μελανὰ (sic) C. – στριφν. CHθ. – οἰνωπαὶ CH. – οἰνώπιοι sic, μέση (adest spatium vacuum duo litterarum) τι θ. — [15] συμβ. θ. – νεώτεραι pro νέαι ὑγρ. H. – νέαι om. C, Ald. – ὑγρότεροι C. – πολύαιμοι ὁμοίως (ὡς pro ὁμ. Lθ, Lind.) (addit ὡς H) ἐπιτοπολὺ (ἐπὶ τὸ πουλὺ CH) vulg. – ἀμφῶν vulg. – ἀμφοῖν CDHθ. – ἴσαι νῦν ἐοῦσαι vulg. – ἰσενύουσαι Lind. – Gal. Gl. : ἰσεννύουσαι, ἰσάζουσαι, μεσήλικες οὖσαι. – Les interprètes ont rapporté la glose de Galien à ce passage-ci. Cependant Schneider dans son Suppl. dit : « A la vérité, Phavorinus a mis plus exactement ἰσενύουσαι d'ἰσενύω. Mais même cette forme d'un verbe dérivé d'ἴσενος, comme δίενος, τρίενος, me semble être contre l'analogie. En conséquence je préfère ἴσενοι ἐοῦσαι, parce que je ne connais d'ailleurs aucun verbe provenant d'ἔνος. »

ραι ξηρότεραι καὶ ὀλίγαιμοι· αἱ δὲ μέσαι μέσον τι ἀμφοῖν ἔχουσιν, ἰσενόσουσι. Δεῖ [1] δὲ τὸν ὀρθῶς ταῦτα διαχειριούμενον διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν καὶ τοὺς καιροὺς καὶ τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τοὺς τόπους καὶ τὰ πνεύματα.

112. [2] Ἢν ῥόος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, αἷμα ῥέει πολλὸν, καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι, καὶ ὀδύνη ἴσχει ἐς τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν νειαίρην γαστέρα, καὶ σκληρή ἐστι, καὶ [3] θιγγανομένη ἀλγέει, καὶ ῥῖγος καὶ πυρετὸς ὀξὺς λαμβάνει, καὶ ἀσθενείη [4] ἐπιγίνεται, καὶ πάντα πλὴν ὤμων καὶ ὠμοπλατέων ἀλγέει, καὶ θέρμη ἔχει, καὶ ἐρευθιᾷ, καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπεόμενα. Ἡ δὲ νοῦσος γίνεται μάλιστα [5] ἐκ τρωσμῶν· γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια μὴ γινόμενα πολλοῦ χρόνου ἐξαπίνης καταῤῥαγῇ. Ταύτῃ, [6] ὁκόταν ὧδε ἔχῃ, ὄλυνθον ξηρὴν κόψας καὶ διασήσας ἐς ὀθόνιον ἐνδῆσαι καὶ προσθέσθαι· καὶ ἐπὶ τὴν νειαίρην γαστέρα ψύγματα ἐπιτιθέναι, φυλασσόμενος μὴ φρίξῃ. Ἐπειδὰν δὲ τὸ ῥεῦμα [7] στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει ὡς ὀξυτάτῳ, διανιψάσθω τὰ αἰδοῖα· πινέτω δὲ γίγαρτα [8] καὶ ῥοῦν τὴν ἐρυθρὴν ἑψήσας ἐν ὕδατι

132. (*Obliquité latérale de l'orifice utérin. Le redresser avec le doigt, avec les bâtonnets, avec la sonde.*) L'orifice utérin s'incline d'un côté et se porte vers la hanche; c'est encore un empêchement à la mondification de la matrice, à la réception du sperme et à la génération. Dans ce cas il faut faire une fumigation aromatique; et, après la fumigation, si l'indication existe, éloigner de la hanche la matrice avec le doigt; puis la redresser avec les baguettes de pin et les sondes de plomb; car, comme il a été dit, elle ne cède pas à une force qui s'exerce rapidement. Quand elle a repris sa situation naturelle et est ouverte, mondifier avec des pessaires émollients, et tout le reste comme il convient.

133. (*Obliquité latérale devenant chronique. Accidents qui en résultent. Les règles supprimées font gonfler les mamelles. Cela donne naissance à de petites tumeurs qui dégénèrent en cancers mammaires. Exposition des signes qui précèdent et annoncent la dégénération cancéreuse. Une des bases du traitement est une fumigation ayant pour but de produire de l'air dans la matrice et de la rendre mobile. Ensuite on emploie les bâtonnets, qui sont ici décrits et dont l'usage est expliqué. Une sonde en plomb alterne avec les bâtonnets. L'auteur se complait à détailler tout le traitement. Comme l'absence des règles est une partie de la maladie, il faut les rappeler; et, pour cela, il institue un régime jour par jour, d'une époque à l'autre; régime que l'on continue deux mois et trois mois si les règles ne viennent pas tout d'abord, et qui, ajoute-t-il en terminant, convient à toutes les maladies de ce genre.*) Quand la matrice se porte à l'ischion, si elle ne s'en éloigne pas promptement pour revenir à sa place, elle s'y dessèche; nécessairement l'orifice est dévié, porté plus haut, et, en raison de la déviation, fermé.

ἔχειν· πάσχουσι [1] γὰρ τοιαῦτα οἷά περ αἱ κύουσαι μέχρι μηνῶν ἑπτὰ [2] ἢ ὀκτώ· ἥ τε γὰρ κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου, καὶ τὰ στήθεα ἐπαίρεται, καὶ γάλα δοκέει ἐγγίνεσθαι· ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ [3] ξυνισχναίνονται καὶ ἐλάσσονες γίνονται, καὶ ἡ κοιλίη τωὐτὸ πάσχει, καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον, καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον, [4] ὃν χρὴ τίκτειν, ἐπειδὰν ἔλθῃ, ἀπόλωλε καὶ ξυμπίπτει. Τοιούτων δὲ γινομένων, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον [5] ξυνέρχονται, καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε, οὕτω πάντα [6] ξυνειρύονταί τε καὶ ξυναυαίνονται, καὶ ἐν τοῖσι τιτθοῖσι φυμάτια ἐγγίνεται σκληρὰ, τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω· [7] καὶ οὐκ ἐκπυοῦνται, σκληρότερα δὲ αἰεί· εἶτα ἐξ αὐτέων φύονται καρκῖνοι κρυπτοί. Μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον [8] τὰ στόματα ἐκπικραίνονται, καὶ ὅ τι ἂν φάγωσι πάντα δοκεῦσι πικρὰ εἶναι, καὶ ἤν τις πλείονα δῷ, ἀναίνονται λαβεῖν, καὶ σχέτλια δρῶσι· παράφοροι [9] δὲ τῇ γνώμῃ, καὶ οἱ ὀφθαλμοὶ σκληροὶ, καὶ βλέπουσιν οὐκ ὀξέα, καὶ ἐκ τῶν τιτθῶν ἐς τὰς σφαγὰς ὀδύναι διαΐσσουσι [10] καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δίψα ἴσχει, καὶ αἱ θηλαὶ καρφαλέαι, [11] καὶ αὗται πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσὶ, καὶ [12] αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀειρόμεναι· πνεῦμα μινυθῶδες, [13] καὶ οὐκ ὀδμῶνται οὐδὲν, καὶ ἐν τοῖσιν οὔασι πόνος μὲν οὐκ ἐγγίνεται, πῶρος [14] δὲ ἐνίοτε. Ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, [15] ἀλλ' ἀπόλλυνται ἐκ τουτέων

[1] Γὰρ τὰ (τὰ om. Cθ) τοι. vulg. — [2] καὶ pro ἢ Cθ. – γὰρ θ. – γὰρ om. vulg. – ἐπιδοῖ (sic) C. – ὅταν θ. – τε om. θ. — [3] σ. vulg. – ξ. C, Lind. – ἐλάσσους γίνονται vulg. – γίνονται ἐλάσσους C (θ, ἐλάσσονες). – τὸ ὠυτὸ vulg. (DFGHIJK, αὐτό). – τωὐτὸ Cθ. – ἀποδέδρακεν θ. – ἐς pro ἐπ' θ. — [4] ἐν ᾧ (ὃν pro ἐν ᾧ θ) ἐδόκεε (χρὴ θ) (ἐνεδόκεε pro ἐν ᾧ ἐδ. C) τίκτειν vulg. – ἀποδέδρηκέ (ἀπόλωλε θ) τε (τε om. θ) καὶ vulg. – τοιοῦτον δὲ γινόμενον vulg. – τοιούτων δὲ γινομένων Cθ, Lind. – χρόνον ὀλίγον θ. — [5] σ. vulg. – ξ. DFHIJK. – αὐτέων om. C. – οὐκ Frob. – οὐχοιονται (sic) θ. – οὕτως CDFGKθ. — [6] σ. θ. – ξυνιρ. C. – συναυ. θ. – ἔν τε τοῖσι sine καὶ C. – φύματα θ. – γίνονται vulg. – ἐγγίνεται C. – μείζω Cθ. – τὰ δ' οὖ pro τὰ δὲ ἐλ. θ. – ἐλάττω C. — [7] ταῦτα δὲ (δ' C) οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότεραι (σκληρότερα KL, Lind.) γίνονται· εἶτα (εἶτ' C) ἐξ vulg. – καὶ οὐκ ἐκπυοῦνται, σκληρότερα δὲ εἶ (sic) καὶ ἐξ θ. – αὐτῶν Cθ. – καρκίνοι DI, Ald., Frob. — [8] κατὰ στόμα pro τὰ στ. L, Lind. – ἢν pro ἂν C. – δοκοῦσι vulg. – δοκεῦσι Cθ. – εἶναι πικρὰ θ. – πλείω vulg. – πλείονα θ. – δοι (sic) ἀνάγονται θ. – σχεταῖα vulg. – σχέτλια Hθ. — [9] δὲ καὶ τῇ θ. – οἱ θ. – οἱ om. vulg. – σκηροὶ (sic) H. – καὶ οὐ βλ. ὀξέα

Ainsi dévié et fermé, il devient dur, contracté et estropié. Obstruant la voie des règles, il les renvoie aux mamelles, sur lesquelles elles viennent peser. Le bas-ventre se soulève, et les femmes inexpérimentées croient être grosses; en effet elles éprouvent tout ce qu'éprouvent les femmes enceintes jusqu'à sept mois ou huit : le ventre se développe en proportion du temps, le sein se gonfle, et du lait semble se produire. Mais, quand cette époque est dépassée, les mamelles s'affaissent et diminuent de volume, le ventre s'affaisse également, la lait a disparu sans trace, l'abdomen, quand l'époque où l'accouchement devait se faire est arrivée, tombe et se perd. Cela fait, la matrice se contracte fortement en peu de temps; il est impossible d'en trouver l'orifice, tant tout s'est resserré et desséché. Dans les mamelles se forment des tumeurs dures, les unes plus grosses, les autres plus petites; elles ne suppurent pas, mais deviennent incessamment plus dures; puis il s'y forme des cancers cachés. Au moment où vont naître les cancers, la bouche d'abord devient amère, tout ce que les femmes mangent a un goût d'amertume; si on leur en donne davantage, elles refusent de le prendre, et font des choses dégoûtantes. Leur intelligence se dérange, les yeux sont secs; la vue est émoussée. Des douleurs passent des mamelles aux jugulaires et sous les omoplates. Il y a soif. Le mamelon est desséché, et le corps entier est amaigri. Les narines sont sèches et obstruées, elles ne se tiennent pas droites; la respiration est petite; l'odorat est éteint. Dans les oreilles il n'y a pas de souffrance, mais il s'y forme quelquefois une concrétion. Quand le mal est arrivé à cette époque, il ne peut plus guérir, et il cause la mort de la malade. Mais quand il est soumis à un traitement avant d'avoir fait tant de

θ.–εἰς vulg.–ἐς Cθ, Lind.–διαίουσι C. — [10] καὶ om. θ.–τοὺς pro τὰς C.–δίψη D.–ἔχει DH.–αἱ om. DH. — [11] καὶ πᾶσα λεπτύνεται θ.–λελεπτισμέναι vulg.–λελεπτυσμέναι CDHJK. — [12] αἱ om. D.–ἀθηρόμεναι (sic) θ. — [13] καὶ οὐκ om. θ.–οὐκ om. C.–ὀδμᾶται DJ.–ὀδμῶται CH.–δ' οὐδὲν θ. — [14] δ' θ.–ὁπόταν θ.–δὲ pro οὖν J.–ἐνταῦθα pro ἐς τόσον C.–τοσοῦτον Q', Lind.–προβῶσι C.–γενέσθαι C. — [15] ἀλλὰ πολλῶν τε ἐκ θ.–νος. CJθ.

τῶν νουσημάτων· ἢν δὲ πρότερον [1] ἢ ἐς τόσον ἀφικέσθαι θεραπευθῇ, καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. Θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε [2] χρή· πρῶτον μὲν ἁπάντων, ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος ἐς τὸ ἄλλο σῶμα φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέῃ δεῖσθαι καθάρσιος· ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι [3] ἐς τὴν τῶν ὑστερέων θεραπείην. Ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὡρμῆσθαι, ἀλλ' αἱ ὑστέραι [4] ἐφ' ἑωυτέων τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε· πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε· χύτρινον λαβόντα ὅσον δύο ἑκτέας χωρέοντα, κάνειον ἐπιθεῖναι [5] καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσεται μηδέν· ἔπειτα [6] δ' ἐκκόψαι τοῦ κανείου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν· ἐς δὲ [7] τὴν ὀπὴν ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον· ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ κανείῳ καλῶς, ὅκως μὴ [8] παραπνεύσεται μηδαμῶς· ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπίθες τὸ κάνειον ἐπὶ τὸν χύτρινον, περιπλάσας πηλῷ· ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος, μῆκος δὲ ὅσον χωρέειν τὸν χύτρινον· ἔπειτα [9] χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς· ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν [10] χρὴ τὰ ξύλα καὶ τῶν ἀνθράκων οἳ δὴ ἀδρότατοι ἔσονται καὶ διάπυροι, τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην ἐν

[1] Ἢ θ. – τοσοῦτον Q', Lind. – ἀφίκεσθαι (sic) I. – θεραπεύηται, λύεται τὰ ἐπ. καὶ ὑγιὴς θ. – τοιαύτας CL, Lind. — [2] ἀποσκεψάμενος ἤχρη (sic) καὶ ἐς τὸ pro χρή.... ἐς τὸ θ. – πρῶτον καὶ (μὲν pro καὶ CDGIK, Ald., Lind.) ἀπ. vulg. – ἐῶσαν FGIJ. – εἰς vulg. – ἐς CDK, Lind. – φαρμακεύειν.... σῶμα om. C. – ὁποίης θ. – δοκέει vulg. – δοκέῃ DFGHIJK. – φαρμακείης καὶ ὧδε pro καθάρσιος.... οὕτως θ. – Post οὕτως addit ὧδε C. — [3] ἐπὶ Cθ. – ὑστέρων DF. – ὑστερῶν J. – προφάσηες C. – ὁρμῆσθαι vulg. – ὡρμῆσθαι J. – ὥρμησθαι (sic) θ. – ὁρμεῖσθαι C. — [4] ἐφ' (ἀφ' Cθ) ἑωυτῶν (ἑαυτέων C) vulg. – νόσημα CDIJK. – ἴσχωσιν, ἐντεῦθεν ἐς τὴν θεραπείην ἐνάρχεσθαι ποιεύμενον, ποιέειν δὲ ὧδε πυριῆν C. – πυριῆν.... ὧδε om. J. – λαβόντα θ. – λαβ. om. vulg. – ἑκταίας δύο C. – δύο κτεας (sic) L. – χοέας θ. – ἐκτέα (sic) (D, al. manu ἑκταίας) FGHIJ. – ἑκτέας K. – χωρεῦντα C. – κανεῖον vulg. – κάνιον Cθ. – κανίον DFGHIJK, Ald., Frob. – In marg. ὅρα τὸ μηχάνημα τοῦ σοφοῦ DH. — [5] ἀπαρτίζων pro καὶ ξ. θ. – ξυναρτίσαι J. – ὅπως μὴ παραπνεύσῃ sine μηδὲν θ. – παραπνεύσηται vulg. – Je lis παραπνεύσεται, même sans mss.; voy. trois lignes plus bas. — [6] δὲ κόψαι vulg. – δ' ἐκκόψαι θ. – τοῦ κ. om., restit. al. manu post πυθμένα cum κανίου D. – κανίου CFGHIJKθ, Ald., Frob. – ποῆσαι F. – ποιεειν Cθ. — [7] ταύτην pro τὴν ὀπὴν θ. – μῆκος om. C. – ὅσον μῆκος θ. – πηχαῖον FJ – πηχυαῖον CDHIKθ. – πηχιαῖον vulg. – ἐαρμόσθαι (sic) FG. – ἐναρμόσθαι (sic) CDIK, Ald., Frob. – τὸν κ. om. θ. – κανίῳ

progrès, et que les règles se rétablissent, la femme guérit. Voici comment il faut agir en ces cas : avant tout, si la malade vous échoit encore forte, considérer l'ensemble du corps et administrer l'évacuant propre au genre d'évacuation qu'on voudra provoquer. Quand le corps est ainsi remis en état, on procède au traitement de la matrice. Si le corps ne paraît devoir être évacué d'aucune façon, si le mal ne semble avoir aucune cause de ce côté, et que la maladie soit purement utérine, il faut entamer ainsi le traitement. On donnera d'abord une fumigation à la matrice : prendre un vase de la contenance de deux setiers, y mettre un couvercle arrangé de manière qu'aucune vapeur ne puisse trouver une issue, puis percer le fond du couvercle et y pratiquer un pertuis; dans le pertuis mettre un roseau long d'une coudée; le roseau sera bien installé dans le couvercle de manière à ce que la vapeur ne se perde pas ; quand ces préparatifs sont faits, mettez le couvercle sur le vase et lutez. Puis creusez un trou de deux pieds de profondeur et assez large pour recevoir le vase ; alors on y brûle du bois jusqu'à ce que le trou soit très-chaud; cela fait, on ôte le bois et ceux des charbons qui sont les plus gros et les plus enflammés, mais on y laisse la cendre et le poussier. Quand le vase s'échauffe et que la vapeur en sort, si elle est trop chaude, on attend ; sinon, on fait asseoir la femme sur le bout du roseau, qui est introduit dans l'orifice utérin, et l'on fait la fumigation ; si l'appareil se refroidit, on jette des charbons ardents, prenant garde que la fumigation ne soit pas trop active; si, par l'addition des charbons, elle devient plus active qu'il ne faut, on diminue le feu. On aura soin de donner cette fumigation par un beau temps, sans vent, afin que la femme

CDFGHIJθ, Ald., Frob. – χανονίῳ K. – ὅπως θ. — [8] παρανεύσηται vulg. – παραπνεύσεται θ. – μηδ' ἅμα θ. – Il faudrait lire μηδαμᾶ. – μηδαμοῦ CDHIJL, Lind. – ὁπόταν θ. – σκευάσας ἐπιθεὶς θ. – χάνιον Cθ. – χανίον DFGHIJK, Ald., Frob. – περιπλάσαι θ. – καὶ ὀρύξαι βόθρον pro ὅταν.... ὄρυξον θ. – ὄνυξον J. – χωρέον L. — [9] καίειν χρὴ θ. – ὡς θ. – βάθρον C. — [10] χρὴ om. θ. – τοὺς ἄνθρακας θ. – οἱ vulg. – οἳ HI. – δὲ FGJ. – ἀδρότατοι FI. – ἁδροὶ θ. – σποδίην IJKθ, Frob.

τῷ βόθρῳ καταλιπεῖν· [1] ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ καὶ ἡ ἀτμὶς ἐπανῇ, ἢν μὲν [2] ᾖ λίην θερμὴ ἡ πνοιὴ, ἐπισχεῖν, εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον, ἔπειτα πυριῆσαι· ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, [3] ἵνα μὴ ὀξέην ποιήσῃς τὴν πυρίην· ἢν δὲ [4] παραβαλλομένων τῶν ἀνθράκων ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων· τὴν δὲ [5] πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίῃ τε καὶ νηνεμίῃ, ὡς μὴ ψύχειν, ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν, ἐς δὲ τὸν [6] χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων, [7] καὶ ὕδωρ ἐπιχέαι, ὥστε δύο δακτύλους ὑπερίσχειν, καὶ καταβρέξαι ὡς ἄριστα, ἐπιχέαι δὲ καὶ φώκης ἔλαιον· καὶ οὕτω θερμαίνειν, πυριῆν δὲ χρὴ πουλὺν χρόνον. Μετὰ δὲ τὴν [8] πυρίην, ἢν ᾖ δυνατὴ, λουσάσθω τὸ μὲν ὅλον σῶμα πρὸς ἡδονὴν, τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ πλέονι· δειπνεῖν δὲ δοῦναι μᾶζαν ἢ ἄρτον καὶ σκόροδα ἑφθὰ, τῇ δὲ ὑστεραίῃ, ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην· [9] ἢν δὲ μὴ, πυριῆν ὀπίσω· πυριωμένη δὲ, ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος. [10] Ἡ πυρίη αὕτη φύσης ἐμπίπλησι τὰς ὑστέρας καὶ ἐς ὀρθὸν μᾶλλον ἄγει καὶ ἀναστομοῖ. [11] Ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. [12] Ὅταν δὲ πυριήσῃς, ἐπεμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν· δρῆν δὲ ταῦτα, ἄχρις ἂν δοκέωσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἱλκύσθαι ἰσχυρῶς· πρὸς γὰρ τὴν πυρίην ταύτην [13] τοιάδε ἔσται· διαιτῆν δὲ μετὰ τὰς πυ-

[1] Ὁπόταν θ. – ἡ om. θ. – ἐπανίῃ CJθ. — [2] εἴη θ. – πνοὴ vulg. – πνοιὴ Cθ. – πυριῆσθαι θ. – φυλασσόμενον θ. — [3] ὡς μὴ ὀξέη ἡ πυρίη θ. – ὅκως C. – ὀξείην vulg. – πυριὴν FG. — [4] φαίνηται pro παραβαλλομένων.... δέοντος θ. — [5] πυριὴν FGI. – Post χρὴ addit τὴν δὲ θ. – εὐδίησιν, ὅκου ἄνεμος μὴ προσπνεύσῃ μηδὲ προσψύξῃ vulg. – εὐδίῃ τε καινὴν ἐμίῃ (sic) ὡς μὴ ψύχειν θ. – Lisez καὶ νηνεμίῃ. – ἀμφικαλύπτεσθαι θ. — [6] χύτρινον ἐμβάλλειν σκορόδια τῶν λύων (sic) θ. – δεῖ J. – ἄνων, sic, al. manu αὔων D. – Post αὔων addit καὶ πλείονα μὲν καταθρύπτειν τῶν κατακεκαυμένων (κεκαυμένων C; κατακεκομμένων Cornar, Foes in not., Lind.) vulg. – καὶ.... κατακεκαυμένων om. θ. — [7] καὶ ὕδωρ ἐπιχέαι ὥστε αὐτὰ καταβρέξεται (καταβρέξαι CJ) καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων οἷον (ὅσοι J) τρεῖς δακτύλους, καὶ ἐπιχεῖν φώκης vulg. – καὶ ὕδωρ ἐπιχέαι ὥστε δύο δακτύλους ὑπερίσχειν καὶ καταβρέξαιον (sic) ἄριστα, ἐπιχέαι δὲ καὶ φώκης θ. – Je lis, dans θ, καταβρέξαι ὡς ἄριστα. – οὕτως vulg. – οὕτω Jθ. – χρὴ om. Jθ. – πολλὸν θ. — [8] πυριῆν θ. – ἢν ᾖ δ.

n'ait pas froid; on l'enveloppe de vêtements. Dans le vase on jette de l'ail sec, on verse de l'eau de manière à recouvrir l'ail de deux doigts de liquide; on le laisse bien macérer; on ajoute aussi de l'huile de phoque; et alors on chauffe. La fumigation doit être prolongée beaucoup. Après la fumigation, si elle est en état, elle se lavera le corps entier à son gré, mais les lombes et les parties sous-ombilicales avec beaucoup d'eau. On donnera pour le dîner de la polenta ou du pain et de l'ail bouilli. Le lendemain, si la fumigation l'a épuisée, on interrompt pour ce jour-là; sinon, on recommence. Pendant la fumigation, si elle peut y toucher, on lui prescrit de reconnaître l'état de l'orifice utérin. Cette fumigation remplit d'air l'utérus, le redresse et l'ouvre; c'est parce qu'elle est telle et capable de produire ces effets qu'on la pratique. Quand vous l'administrez, il faut jeter de l'ail et verser de l'huile de phoque; on fait cela, jusqu'à ce que la matrice paraisse remplie d'air et l'orifice tiré fortement en haut; résultats qu'aura en effet cette fumigation. Le régime, après ces fumigations, est le même qu'après d'autres fumigations. Quand la matrice se déplace et devient mobile, on fait une fumigation avec la racine de fenouil, préparant de la même façon un autre vase. On lave les racines de fenouil, on les broye, et on les jette dans le

om. θ. – δυνατὸν JK. – μὲν οὖν (οὖν om. θ) ὅλον vulg. – πλέον (addunt εἰ G, εἶ θ) vulg. – Je lis cela πλέονι. – δοῦναι om. θ. – ἢ θ. – ἢ om. vulg. – δ' Cθ. – διαληημένη (sic) C. — [9] εἰ Cθ. – ὀπίσω om. θ. – Post ἦν addit μὲν θ. – σκέψασθαι om. θ. — [10] ἦν ἡ πυρίη αὐτέη φύσης (φύσσης J; φύσησιν L, Lind.) ἐμπιπλᾷ τὰς ὑστέρας, ἐμπιπλάμεναι δὲ φύσης (φύσσης J; φύσησι Lind.) τὸ στόμα (σῶμα CDHIJK) ἐκ τοῦ λίην ἀπεστράφθαι καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι (καθεστῶσι Lind.) καὶ ἀναστομοῦνται vulg. – ἡ πυρίη αὕτη φύσης ἐνπίμπλησι τὰς ὑστέρας καὶ ἐς ὀρθὸν μᾶλλον ἄγειν καὶ ἀναστομοῖ θ. – Je lis ἄγει. — [11] ὡς.... δεῖ om. θ. – ταύτης D. — [12] ὁπόταν θ. – ἐμβάλλειν vulg. – ἐπεμβάλλειν θ. – σκορδίων θ. – σκοροδέων (sic) C. – ἐπιχεῖν θ. – δρᾶν θ. – ἄχρι Cθ. – ἂν om. C. – δοκῶσιν vulg. – δοκεῦσιν C. – δοκέωσι θ. – πεφυσσῆσθαι J. – εἰλκῦσθαι FIK, Ald., Frob., Lind. – ἑλκύσθαι D. — [13] τοια (sic) θ. – διαίτην Cθ. – τοὺς pro τὰς C. – ὥστε pro ὡς ὅτε C. – τὸ om. J. – πυριῆτο vulg. – πυριήτω C. – ἐπυριῆτο θ. – ὅταν δ' θ. – ἀνακινηθῶσιν vulg. – ἀνακινηθέωσιν C. – ἀνακεινηθέωσιν θ. – μαράθου CFGHIJKθ, Ald.

ρίας, ὡς ὅτε τὸ πρότερον ἐπυριῆτο. Ὁκόταν δὲ ἀνακινηθέωσιν αἱ ὑστέραι καὶ εὔλυτοι γένωνται, πυριῆν μαράθρου ῥίζῃσιν, [1] ἕτερον χύτρινον κατασκευάσας τὸν αὐτὸν τρόπον, τὰς δὲ ῥίζας τῶν [2] μαράθρων ἀμφιπλύναντα φλάσαι, καὶ ἐς τὸν χύτρινον ἐμβαλεῖν, καὶ ἐπιχέας ὕδωρ τὸν αὐτὸν τρόπον πυριῆν. Μετὰ δὲ ταῦτα λούειν, καὶ ἐς ἑσπέρην δειπνεῖν μᾶζαν· ἢν δὲ ἄρτον βούληται καὶ [3] βολβίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. Ἐν δὲ τῇ πυρίῃ πειρῆσθαι τοῦ στόματος ψαύειν· [4] αὕτη ἡ πυρίη ἄγει τὰς ὑστέρας ἄγχιστα· ταῦτα δὲ χρὴ ποιέειν ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον· [5] κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνηται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον· ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. Μετὰ δὲ τὰς πυρίας [6] πειρῆσθαι προστιθέναι τῶν προσθέτων τῆς σιάλου δαιδὸς τῆς πιοτάτης, χρίσμα δὲ λίπα ἔστω, ποιέειν δὲ μῆκος μὲν δακτύλων ἕξ, πλῆθος δὲ πέντε ἢ ἕξ, εἶδος δὲ ἔξουρα· εἶναι δὲ θάτερον θατέρου σμικρῷ παχύτερον· τὸ δὲ [7] παχύτερον εἶναι ὁκόσον δάκτυλος ὁ λιχανὸς, καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ ἐξ ἄκρου λεπτότατον, [8] ἀγόμενον δὲ παχύτερον· ποιέειν [9] δὲ ὡς λειότατόν τε καὶ στρογγυλώτατον, φυλασσόμενον ὅκως σχινδαλμὸς μηδεὶς ἔσται· προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον· [10] ὅταν δὲ προσθῆται, ἀναπαυέσθω ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα· [11] προστιθέσθω δὲ πρῶτον τὸ ἄκρον, εἶτα αἰεὶ μᾶλλον, ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δαίδιον· καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπισχεῖν [12] ἐπὶ τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσῃ· εἶτα

[1] Ἕτερόν τε (τε om. Cθ) κατασκευάσαι (κατασκευάσας θ) vulg. — [2] μαράθων CFGHIKθ, Ald., Frob. – φλάσθαι vulg. – θλᾶσθαι CDFHIJKL. – φλᾶσαι θ, Lind. – ἐμβάλλειν C. – καὶ ἐπιχέαι ὕ. καὶ τὸν θ. – ταῦτα om. θ. — [3] βόλβια θ. – βολβιτία Cornar. – βολίδα, al. manu βολβίδα D. – Gal. Gl. : βολβιτία, τὰ ὑπὸ τῶν πολλῶν βομβύλια προσαγορευόμενα· γένος δέ ἐστι τοῦτο μικρῶν πολυπόδων. – σιπίδια FHIK. – σηπίδα D. – μικρῶν C. – Post οἴνῳ addunt πάντα C, δὲ πάντα θ. – καὶ ἐν (ἐν om. Cθ) ἐλ. vulg. – καὶ παρ. ἐσθ. om. Cθ. – πειρᾶσθαι θ. — [4] ἡ πυρίη ἄγειν (αὐτὴ ἡ πυρίη ἄγει C) (πυριήσσειν sic pro πυρίῃ ἄγειν K) τὰς ὑστ. ἄγχιστα· ταύτας χρὴ πυριῆν ἐφ' ἡμέρας (ἡμέραις K) vulg. – αὕτη ἡ πυρίη ἄγει τὰς ὑστ. ἀγχ. ταῦτα δὲ χρὴ ποιέειν ἐφ' ἡμέρας θ. — [5] ἢν Cθ. – διάλυτός τε καὶ θ. – γίνεται vulg. – γίνηται CDFGHIJKθ. – διαλαμβάνων ὁκόσον (ὁπόσον θ) ἂν σοι δοκέῃ χρόνον Cθ. – ἅπασαν sine ἀνὰ θ. – ἡμέραν F. — [6] πειρᾶσθαι θ. – τῆς πιάλου (σιάλου CDHIθ) δαιδὸς (παιδὸς C) (addit τῆς θ) πιοτάτης (ποιοτάτας L) vulg. – Gal. Gl. : σιάλου δαιδὸς καὶ σιάλου αἰγὸς, τοῦ λιπαροῦ. – χρῖσμα G, Ald. – χρίμα θ. – λῖπα FHI, Frob. –

vase; on verse de l'eau, et on administre semblablement la fumigation. Après cela, la femme prend un bain, et, le soir, à son dîner, elle mange de la polenta; si elle veut du pain, de petits poulpes et de petites sèches, elle peut les faire bouillir dans du vin et de l'huile et les manger. Pendant la fumigation, elle essayera de toucher l'orifice utérin; cette fumigation a pour effet d'amener la matrice très-près. On l'administre pendant cinq ou six jours, en considérant l'état de la femme; si elle s'épuise et devient faible, on interrompt tout le temps qu'il faut; si elle ne s'épuise pas, on fait une fumigation chaque jour. Après les fumigations, on essaye de mettre les pessaires faits avec des bâtonnets du pin le plus gras; on les enduit avec de l'huile; ils sont longs de six doigts, au nombre de cinq ou six, de forme conique, et un peu plus gros les uns que les autres; le plus gros est comme le doigt indicateur, de même forme que ce doigt, plus mince par le bout, grossissant en allant vers l'autre extrémité. Ces bâtonnets seront aussi lisses et aussi ronds que possible, sans aucune écharde. On place d'abord le plus mince. Quand il est en place, la femme se tient tranquille, prenant garde qu'il ne tombe. On n'enfonce d'abord que le bout, puis on l'engage de plus en plus, le faisant tourner et le poussant en même temps. Quand le petit bout est reçu, on s'arrête à ce petit bout, et la femme prend garde que le bâtonnet ne tombe. Puis on enfonce davantage de la même façon, jusqu'à ce qu'il soit entré de quatre doigts

λεῖπα θ. – Ante μῆκος addit ὧδε θ. – Gal. Gl. : ἔξουρα, εἰς στενὸν συνηγμένα, ἃ δὴ καὶ μύοπα ὀνομάζουσιν. – μικρῷ C. – παχύτερον Cθ. – βραχύτερον vulg. — [7] βραχύτερον J. – εἶναι om. J. – δειχανος (sic) θ. — [8] ἐχόμενον Vatic. Codd. ap. Foes in not. — [9] δὲ om. θ. – λιότατον θ. – στρογγυλότατον D. – στροπυλώτατον (sic) C. – φυλ. (φυλασσόμενος C) δὲ (δὲ om. Cθ) ὅκως (ὅπως θ) vulg. – σκινδαλαμὸς θ. – σχιδαλμὸς DF. – σχιδαλασμὸς G. – σχινδαλασμὸς Ald. – σχ. δαλαμὸς HIK. – κινδάλαμος (sic) C. – ἐνέσται Cθ. – ἔστω L. — [10] καὶ pro ὅταν δὲ πρ. θ. – πρόσθηται C. – ὡς θ. – φλάσσουσα (sic) C. — [11] προστιθέσθω D. – προστιθέτω vulg. – εἶτα καὶ (καὶ om. θ) αἰεὶ vulg. – κύκλωσε FGHIJK. – κυκλοσαι (sic) θ. – δαιδίον C. – ὅταν θ. – μικρὸν θ. — [12] ἐν vulg. – ἐπὶ θ. – τούτω θ. – φυλάσσουσαν θ. – ἐκπέσηται vulg. – ἐκπεσεῖται C. – ἐκπέσῃ Lθ, Lind. – εἶτ' DFGHIJK. – ἐς (ἐς om. θ) τὸν vulg.

αὖθις ἀπωθέειν τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων [1] ἔσω τοῦ στόματος τῶν ὑστερέων γένηται· ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι, ὁμοῦ τὸ προσκείμενον ἀφαιρέουσα, [2] ὅκως, πρὶν ξυμπεσεῖν τὸ στόμα, προσκείσεται θάτερον δαίδιον ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου· οὕτω [3] δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. Χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα [4] ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξει· τοῦ δὲ [5] μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα [6] ἐξελαύνεται· ὅκως δὲ τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται καὶ μὴ τρώσει, ποιέειν ταῦτα ὡς καὶ τῶν δαιδίων· ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἶος τετριμμένου· [7] ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαίδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι. [8] Ἢν δὲ τὸ μολύβδιον καῦμα παρέχῃ προστεθὲν, τὸ [9] μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαΐδα ὀπίσω προστιθέναι, [10] καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν· ἔπειτα ὀπίσω προσθεῖναι, τὴν δὲ δαΐδα ἀφελεῖν· προσκεῖσθαι δὲ χρὴ αἰεί τι· [11] τὴν ἡμέρην ἄμεινον τὴν δαΐδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. Ἢν [12] δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ· [13] ἢν δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. Ἢν δὲ τῶν δαιδίων, ἃ δὴ προσέκειτο, μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, [14] μέχρις εὐπιθὲς ᾖ. Ἢν δὲ τὸ στόμα [15] μὴ δύνηται ἀνοίγεσθαι, [16] μηδὲ αἱ ὑστέραι ἀγχοῦ προσίω-

[1] Τὸ εἴσω (ἔσω θ) vulg. – Je supprime τό. – ὑστέρων D. – Ante γένηται addit τοῦτο θ. – ἐγγένηται D. – ὅταν δὲ τοῦτο om. θ. – πρότερον δέξηται pro προσδ. K. – ὁμοῦ.... προστίθηται om. L. – προκείμενον DFGHI, Ald., Frob. – πρὶν pro προσκ. θ. — [2] ὅκ. om. θ. – προκείσεται vulg. – προκείσηται Lind. – ὡς προσκείσεται θ. – προσκείσηται DFHIJK. – θάτερον δαίδιον θ. – θ. δ. om. vulg. – ὀρθοῦ ἔτι θ. – ἠνεωγμένου J. – ἀνεογμένου C. – οὕτω Jθ. – οὕτως vulg. — [3] δὲ om. (D, restit. al. manu) FGHIJK. – τούτου FGHIK. – ἕλκηται θ. – ἐξερέηται J. – προστιθῆται J. – προστιθέαται θ. – μολίβδιον θ. – μόλιβδον CD HJK. – εἰκέλως C. — [4] εἶδος ποιῆσαι sine τὸ θ. – κοιλοτάτῳ pro παχυτάτῳ θ. – ὅπως θ. – ξυνέξῃ vulg. – ξυνέξει CFHIJK. – συνέξει D. – δὴ ἁρμονίῃ καλῶς ἕξει pro ξυνέξει θ. — [5] μολίβδου CDJ. – μολυβδίου θ. – ἐληλαμένου θ. – ἐλιλασμένον FGHI. — [6] ἐξ. om. θ. – ὅπως θ. – δὲ θ. – δὲ om. vulg. – μου (sic) pro μοτοῦ θ. – λίον θ. – τρώσῃ vulg. – τρώσει θ. – ποιέει (ποιέειν HIθ) δε (δὲ om. θ) ταῦτα ὡς καὶ τὰ (τὰ om. Cθ) τῶν vulg. – παιδίων C. – ὁπόταν θ. – ὅταν D. – ὅμοιος pro ὁ μοτὸς θ. – μολίβδινος CDJK. – αὐτὸν om. J. – τριπτοῦ θ. — [7] ὅταν θ. – παρασκευασμένος (sic) H. – παρασκευασμένον σοι ᾖ θ. – παρασκευασθῇ J. – δαιδίον CH. – μολίβδινον D. – μολίβδιον CJK. — [8] ἢν καῦμα δὲ παρέχῃ προσθετὲν θ. – μολίβδιον CDJK. – μολίβδινον L. – κλύμα vulg. –

à l'intérieur de l'orifice utérin. Quand ce premier bâtonnet est ainsi reçu, on l'ôte pour substituer celui qui suit en grosseur, de manière que celui-ci soit en place avant l'affaissement de l'orifice et quand cet orifice est encore droit et ouvert. Or, on réussira, si on enlève l'un et met l'autre. Il faut aussi avoir une tige en plomb semblable, pour la forme, au bâtonnet le plus gros, mais creusée à l'intérieur pour pouvoir contenir quelque chose. La capacité en sera celle de la sonde pour les plaies. Afin que l'orifice de cette tente soit lisse et ne blesse pas, on la dispose comme le bout des bâtonnets. Quand la tente en plomb est prête, on l'emplit de graisse de mouton broyée. Cela fait, on ôte le bâtonnet, et on met en place le plomb. Si, mis en place, il cause de la chaleur, on le retire et on remet le bâtonnet; on trempe le plomb dans de l'eau froide, et on le replace, après avoir ôté le bâtonnet. Il faut qu'il y ait toujours quelque chose en place : pendant le jour le bâtonnet vaut mieux, le plomb pendant la nuit. Si la femme veut se lever, qu'elle se lève, mais en ayant attention à ce que la tente reste en place; et, en cas de déplacement, elle la remettra aussitôt. Si aucun des bâtonnets employés pour ces cas ne sont reçus, on les fera plus minces, jusqu'à ce que l'opération puisse s'accomplir. Dans le cas où ni l'orifice utérin ne peut être ouvert, ni

κλύσμα L. – καῦμα Foes in not., Lind. – περιέχῃ vulg. – παρέχῃ Lind. — [9] μὲν om. 0. – μολίβδιον CDK. – δαιδαν (sic) 0. — [10] καὶ.... προσθεῖναι om. J. – Post καὶ addit αὖτις 0. – μολίβδιον CD. – ὑποβάψαι D. – ἔπειτ' 0. – προστιθέναι vulg. – προσθεῖναι C0. – χρὴ post αἰεὶ D. – αἰεὶ CDFGHIJK0, Lind. – ἀεὶ vulg. – ἐπὶ pro τι 0. — [11] [καὶ] τὴν [μὲν] Lind. – ἀμείνω vulg. – ἄμεινον 0. – δαίδα (sic) H. – δὲ om. 0. – μολίβδιον CDJK. — [12] δὲ 0. – φλασσομένη (sic) C. – ὅπως 0. – ἀτρεμέει Ald. — [13] εἰ 0. – δαιδίων ὧν (τῶν C; ἃ 0) (addit δὴ 0) πρόσκειται (προσέκειτο 0) vulg. – προσέχηται pro προσδέχηται D. — [14] μέχρις οὗ προσδέχηται (προσδέξηται CDFGHIJKL, Lind.) ἐκ τουτέων εἰς (ἐξ pro εἰς DHI; ἐς CK, Lind.) (ἐξεκεῖνα sic J) καθεστάναι (καθιστάναι D; καθεστᾶναι C) καὶ εὐπιθῆσαι (εὐπειθῆσαι J; ἀπηθῆσαι K; εὐπειθήσει C; εὐπιθήσει Vatic. Codd. ap. Foes in not.) vulg. – μέχρι εὐπιθὲς ᾖ pro μέχρις.... εὐπιθῆσαι 0. — [15] μηδὲ vulg. (μήδε sic G; μηδὲ om. J). – μὴ CDFIK 0. — [16] μηδὲ (μηδ' CDJ0) (addunt αἱ CDJ0) ὑστ. vulg. – αὖτις ἐπαναχωρέειν 0. – ἐπαναχωρεῖν vulg. – ἰητρίην (ἰητρείην DHIJK; πυριῆν 0) vulg. – δευτέραν vulg. – δευτέρην 0, Lind. – μαλαχθῶσι vulg. – μαλαχθέωσιν C.

σιν, αὖθις ἐπαναχωρέειν ἐπὶ τὴν ἀρχαίην πυρίην· ἀπὸ δὲ τῆς πρώτης ἐπὶ τὴν δευτέρην, μέχρις ὅτου μαλαχθέωσι καὶ πελαστάτω προσίωσι· [1] κἄπειδὰν ἀναστομωθέωσι, προστιθέναι πρόσθετα ποιήσαντα δύο, εἶναι δὲ τὸ μέγεθος ὅσον ἐλαίη, [2] τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ, κἄπειτα θάτερον προστιθέναι· ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, [3] βάψαι τὸ πρόσθετον τὸ ἐκ τῆς ῥητίνης, ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐς ἔλαιον ῥόδινον ἢ ἴρινον. Πρὶν δὲ τὸ [4] μολύβδινον προσκέεσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ στόματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ σώματος· ἔπειτα μαλθακτήρια προστιθέναι, λούεσθαι δὲ θερμῷ καὶ πρὸ τῶν προσθετῶν καὶ ὕστερον, καὶ δεῖπνον διδόναι τῶν [5] θαλασσίων. Ὅταν δὲ ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ, μετὰ δὲ τοῦτο μαλθακτήρια· ὅταν [6] δὲ ἀποφλεγμήνῃ, αἰεὶ προσκείσθω τὸ δαίδιον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα [7] ποιέειν, ὡς εἴρηται, καὶ τὸ [8] στόμα ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε, πρόσθετον ποιήσαντα [9] τὸ ξὺν τῷ σύκῳ προσθεῖναι· ποιέειν δὲ δύο καὶ ταῦτα· [10] πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου τῇ πρόσθεν εἰρημένῃ· μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ [11] φάρμακον λούσαντα· λούειν δὲ καὶ ἐς ἑσπέρην·

[1] Καὶ ἐπ. C. – ἀναστομωθῶσι vulg. – ἀναστομωθέωσι C. – προσθεῖναι θ. – δύο θ. – δύο om. vulg. – ὡς (adest spatium vacuum quinque vel sex litterarum) κοτινάδα pro εἶναι.... ἐλαίη θ. — [2] πυριάσαι δὲ πρὶν θάτερον τούτω προσκεῖσθαι μέχρι ὅτου ἐκτακῇ· ὅταν δ' ἐκτακῇ, καὶ θάτερον προστίθεσθαι pro τούτων.... μέλλῃς θ. – τούτω J. – ὅτου om. J. – ἐκταμῇ H. – καὶ ἔπειτα C. – ὅταν C. – μέλῃς C. — [3] ἅψαι vulg. – ἄψαι DIK. – βάψαι Foes in not., Lind. – βάπτειν δὲ θ. – ῥιτ. FG. – ἀφίσταται θ. – ἢ ἴρινον om. θ. – ἠρινὸν C. — [4] μολίβδιον D. – μολύβδιον θ, Lind. – μολίβδινον CJK. – προσκεῖσθαι vulg. – προσκέεσθαι C. – προσκέεσθαι.... μαλθακτήρια om. J. – ὅπως τῷ σώματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ στόματος θ. – σώματι (D, emend. al. manu) FG, Ald. – ἐνειρίσηται vulg. – ἐνειρύσηται DH, Foes in not., Lind. – ἐνειρίσεται C. – εἰς vulg. – ἐς CDHIK, Lind. – εἴσω vulg. – ἔσω Kθ. – λοῦσθαι θ. — [5] θαλασσίων τι τῶν εἰρημένων· διδόναι δὲ, (τι τῶν εἰ. διδ. δὲ om. θ) ὅταν (addit δὲ θ) ἡμέραι vulg. – τρὶς θ. – καὶ [ἢν] καθαρὸν Lind. – καὶ παύεσθαι legit Foes in not. — [6] δ' θ. – ἀποφλεγμαίνῃ CIJK. – ἀναφλεγμήνῃ legit Foes in not. – αἰεὶ προσκείσθω τὸ δαιδίον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ θ. – αἰεὶ.... ᾖ om. vulg. – αὖτις θ. – τὸν α. τρ. om. θ. – τὰ ἄλλα C. — [7] ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον· ὅταν δὲ (δὲ om. DFGIK, Ald.) καλῶς ἔχῃ τὸ

la matrice amenée à proximité, il faut en revenir à la fumigation du début, commençant par la première et finissant par la seconde, jusqu'à ce que l'utérus s'assouplisse et s'abaisse très-près. Quand il est ouvert, on a deux pessaires, gros comme une olive ; on en met un, qu'on laisse jusqu'à ce qu'il fonde; puis on met l'autre. Ce pessaire à la résine, quand il va être placé, sera plongé dans de l'huile de rose ou d'iris, ce qui l'empêche de se coller à l'orifice utérin. Auparavant il faut mettre le plomb, afin que le pessaire soit dans un orifice droit et s'enfonce à l'intérieur du corps de l'utérus. Puis on applique les émollients. La femme se lave à l'eau chaude et avant les pessaires et après. Son dîner est de poissons de mer. Quand deux jours ou trois ont passé après cette application, on considère si l'orifice est en bon état et mondifié, et l'on cesse l'usage de ce pessaire, auquel on fait succéder les émollients ; et, quand l'inflammation est tombée, on entretient toujours en place le bâtonnet ou le plomb. Mais si l'orifice utérin n'est pas encore mondifié, on applique de nouveau en pessaire les médicaments, et on fait le reste comme il a été dit ; on produit l'insufflation de l'orifice utérin et de l'utérus en appliquant le pessaire à la figue ; on en a aussi deux de cette espèce ; avant de les mettre, on administre la fumigation avec le fenouil indiquée plus haut. Après la fumigation, le lendemain, on applique le médicament, on a auparavant donné un bain, on en donne un aussi le soir. On trempe ce pessaire, comme l'autre,

σῶμα (στόμα Vatic. Codd. ap. Foes), ἀναφυσῆν (ἀναφυσεῖν F ; ἀναφυσσῆν J ; ἀναφυσοῦν L) (κατὰ.... ἀναφυσῆν om. θ) ὡς vulg. — [8] στ. δὲ (δὲ om. Cθ) vulg. - ἀναφυσᾶν θ. - ἀναφυσσῆν J. - ἀναφυσοῦν L. - δὲ pro δεῖ DL. - χρὴ θ. — [9] τὸ θ. - τὸ om. vulg. - σὺν θ. - καὶ om. J. — [10] καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ βαράθου (sic) πυριῆσαι (adest hic spatium vacuum quindecim vel sedecim litterarum) pro πρὸ.... εἰρημένῃ θ. - πυριῆσαι καὶ τῇ vulg. - J'efface ce καὶ, qui, par le fait, manque dans θ. - μαράθου CGHIK, Ald., Frob. — [11] φάρμακον· ὅταν δὲ μέλλῃ προστιθέναι (πρ. om. J) πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω (οὕτως CDFGHIK) προστιθέναι· τῇ δ' ὑστεραίῃ ἡμέρῃ vulg. - φάρμακον λούσαντα· λούειν δὲ καὶ ἐς ἑσπέρην· βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ θ. - ἀρρήγει FGI, Ald., Frob. - ἄχρι Cθ. - ἢν pro ἂν C.

βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ μαλθακτήρια ἀρήγει ἄχρις ἂν φλεγμήνωσι· [1] μετὰ δὲ τὴν φλεγμασίην ποιέειν τὴν δαΐδα κατὰ τὸν ἔμπροσθεν λόγον. Ποιέειν δὲ καὶ περὶ [2] τοῦ προσθέτου τούτου τοιαῦτα, οἷά περ καὶ περὶ τοῦ προτέρου· [3] κἢν μὲν ἅπαξ προστεθὲν ἀρκεόντως δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας, πεπαῦσθαι· ἢν δέ [4] τι χρήζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον ὅνπερ τὸ πρότερον. Μετὰ δὲ ταῦτα, ὅταν δοκέῃ σοι καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιημάτων· [5] σκευάζεται δὲ τόνδε τὸν τρόπον· κύπειρον κόψαντα καταστῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον, καρδαμώμου τε ἴσον, καὶ κυμίνου αἰθιοπικοῦ, καὶ ἀννήσου, καὶ πηγάνου ξηροῦ, καὶ ὑπερικοῦ, καὶ μαράθου σπέρμα· ὅταν [6] δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας ἐς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἓξ ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, [7] καὶ ἀναταράξαι· εἶτα ἐπιχέαι ὅσον τριώβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον· ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι· [8] πυριῆν δὲ μαλθακῇ πυρίῃ πλεῖστον χρόνον· λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς· ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικέεσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ· μετὰ δὲ τοῖσι δαιδίοισι καὶ [9] τοῖσι μολύβδοισι χρέο· ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς· τὰς [10] δὲ μεταξὺ ἡμέρας λούειν δὶς τῆς ἡμέ-

[1] Καὶ μετὰ τὴν φλ. J. – μ. δὲ τ. φλ. om. θ. – ποιέειν τὰ ἄλλα (τὴν δαιδα sic θ) κατὰ vulg. — [2] τοῦ πρόσθεν τούτου του (sic) θ. – περ om. DFGIKθ. — [3] κἢν (καὶ ἣν C) μὲν μείνῃ (ἢ C; μήνῃ Ald., Frob.; μένῃ DFHIJKL) ἅπαξ προστεθὲν, ἀρκέοντος (ἀρκεόντως J) δοκέῃ (δοκέει D; δοκεῖ J) εἶναι, φυσῆσαι τὰς ὑστέρας καὶ πεπαῦσθαι vulg. – καὶ ἢν μὲν ἅπαξ προστεθὲν ἀρκοῦντος δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας πεπαῦσθαι θ. — [4] τις vulg. – τι θ. – χρίζῃ θ. – χρήξῃ H. – αὖτις Cθ. – προστ. om. J. – ὅνπερ καὶ (καὶ om. C; τὸ pro καὶ θ) πρ. vulg. – ταῦτα om. θ. – ὅταν καλῶς (καλῶς om. θ) δ. σοι καὶ (καὶ om. θ) καιρὸς vulg. – κατασκευάσαι θ. – θυμιημάτων C. – θυμιωμάτων θ. – θυμιαμάτων vulg. — [5] σκευάσαι δὲ ὧδε pro σκ.... τρόπον θ. – τὸν pro τόνδε F. – Post τρόπον addit κατασκευάζην (sic) τὴν ἐκ τῶν θυμιημάτων πυρίην τόνδε τὸν τρόπον C. – κύπαιρον θ. – ὕπερον (sic) F. – κύπερον vulg. – κατασῆσαι Cθ. – καταστῆσαι vulg. – σταφίδα, al. manu σκαφίδα D. – σχίνου DH. – σχῖνοχ K. – (Addit καὶ D) καρδάμου (καρδαμώμου θ) τε (τε om. D) vulg. – ἀννήθου θ. – ἀνίσου CDHJ. – ἀνήσου K. – μαράθρου D. — [6] δὲ παρασκευάσῃ

dans de l'huile, au moment de le mettre. Après la mondification, le lendemain, les émollients conviennent tant qu'il y a inflammation. Quand l'inflammation est passée, on applique les bâtonnets selon ce qui a été dit plus haut. Au reste on fait pour ce pessaire exactement comme pour le précédent. Si une seule application paraît suffire pour produire l'insufflation de l'utérus, on s'en tient là ; mais, s'il est encore quelque besoin, on applique de nouveau le pessaire de la même façon. Ensuite, quand l'opportunité paraît venue, on prépare la fumigation des aromates. Elle se prépare ainsi : triturer et tamiser cypérus une conque (0litre,023), calamus odorant autant, jonc odorant autant, cardamome autant, graines de cumin d'Éthiopie, d'anis, de rue sèche, d'hypéricon et de fenouil ; quand on a préparé tout cela, on verse dans le vase six cotyles de vin astringent blanc très-odorant, on jette un quart de cotyle des substances broyées et on agite. Puis on ajoute un tiers d'obole de parfum égyptien aussi bon que possible, ou de l'excellente huile de marjolaine ou d'iris ; quand on verse, on agite. On fait une douce fumigation et on la prolonge autant qu'on peut ; on donne un bain auparavant, et on la répète pendant deux ou trois jours. Quand la fumigation est finie, on met un bouchon sur la fumigation, afin qu'elle ne s'évapore pas. Puis on use des bâtonnets et des plombs. Quand on a fumigé deux ou trois jours, on fait une interruption de deux ou trois jours ; dans ces jours intermédiaires on donne deux bains par jour. La femme

ταῦτα ἐς τὸν χ. οἴκου (sic) αὐστ. κ. ἓξ ὡς εὐ. ἐγχέαι λευκοῦ καὶ ἐπ. 0. – κατασκευάσης J. – εἰς vulg. – ἐς CDFHIK, Lind. – ἐπιπάσσαι FIJ. – τεταρτήμορον 0. — [7] καὶ om. K. – τριόβολον C. – κράτιστον pro ὡς βέλ. 0. – ἠρίδανον pro ἴρινον C. – εἴρινον 0. – ὅταν δὲ ἐ., ἀν. om. 0. — [8] πυρίην (καὶ πυριῆν Lind. ; πυριῆν δὲ 0) μαλθακὴν (μαλθακῇ 0, Lind.) τῇ (τῇ om. 0) πυρίῃ vulg. – πλέονα χρόνον ἡμέρας δύο, λούειν δὲ πρὸ τῆς πυρίης· ἐπὴν δὲ παύσηται 0. – πυριῆν δὲ (sine καὶ) ἡμέρας C. – ὅταν.... τὰς δὲ μεταξὺ om. L. – ἐπιθέματι CG. – ἐπιθήματι 0. – ἐπικεῖσθαι vulg. – ἐπικέεσθαι C. – ὅπως 0. — [9] τῷ μολίβδῳ χρῆσθαι 0. – τῇσι D. – μολίβδοισι DJK. – μολίβδεσι C. – ὅταν.... ἡμέρης om. 0. – ἡμέρας pro ἑτέρας J. — [10] δὲ om. C. – λούσασθαι C. – ἡμέρας pro ἡμέρης J. – πράσσα C. – ὠμὰ κ. ἑ. K. – Post ὠμὰ addit καὶ σισυμβρον (sic) 0. – ῥαφανίδας CDFGIK0, Ald., Lind. – κάρδαμον 0.

ρης. Ἐσθίειν δὲ πράσα ἑφθὰ καὶ ὠμὰ καὶ ῥαφανῖδας καὶ κάρδαμα καὶ σκόροδα [1] ὀπτὰ καὶ ἑφθὰ, καὶ τὸ πόμα ἀκρητέστερον, καὶ τοῖσι θαλασσίοισι τοῖσι προειρημένοισι χρέεσθαι. [2] Ὅταν δὲ αἱ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων ἐς τὴν ὑπάρχουσαν πυρίην, καὶ οἶνον [3] ἐπιχέαι· ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, [4] καὶ τούτῳ πυριῆσθαι. Ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν [5] τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι καὶ ἀνεστομωμένον ὡς χρὴ, καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ· προσθετὰ [6] δὲ εἶναι δύο· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι· [7] μετὰ δὲ τοῦτο τοῖσι δαιδίοισι καὶ μολυβδίοισι χρῆσθαι· τὴν δὲ δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται· [8] ἢν μὲν δοκέῃ [ἡ] ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον· ἢν [9] δοκέῃ δὲ ἄχρηστος εἶναι αὕτη ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. [10] Ὅταν δὲ προπυριάσῃς αὖθις τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ προσθετὰ, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τὰ μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα· [11] αἰεὶ δὲ

[1] Ἑ. κ. ὀπ. Cθ. – πώμα (sic) ἄκρητον θ. – σιτίοισι pro τοῖσι προειρημένοισι θ. – χρῆσθαι θ. — [2] καὶ αὖτις pro ὅταν.... παρέλθωσι θ. – αἱ om. C. – διαλειπόμεναι CJK. – διέλθωσι J. – πυριᾶν θ. – ἐπιπάσσαντα CHIJK. – ὀλίγοστα C. – εἰς vulg. – ἐς CDH, Lind. — [3] ἐπιχέειν K. – καὶ ἔλαιον ἢν δοκέῃ δεῖσθαι θ. — [4] καὶ om. θ. – τοῦτο J. – πυριᾶν θ. – ὅταν θ. — [5] τῆς πυρίης, καὶ τό τε στόμα θ. – ἐγγὺς αἱ ὑστ. C. – ἐγγὺς om. θ. – τῇ ὕστερον ἡμέρῃ CDHIK. – ἡμέρῃ J. – σὺν θ. — [6] δ' θ. – ὑστερέῃ C. – ἡμέρῃ om. DFGHIJKLθ. – πρὸς τὰ μαλθ. J. – καὶ (καὶ om. θ) μέχρις (μέχρι θ) vulg. – ἀποφλεγμαίνωσιν G. — [7] καὶ pro μετὰ δὲ τοῦτο θ. – καὶ μολ. om. θ. – μολιβδίοισι CDJK. – χρῆσθαι (χρέεσθαι L, Lind.)· μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς (ὅσας C) ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον (ἀποσκηπτόμενον CDFGJ) τῶν ὑστερέων (μετὰ.... ὑστερέων om. θ), καὶ τὴν (τὴν δὲ θ) δύναμιν vulg. – Cette phrase de vulg. n'est pas correcte; pour la corriger, il faudrait quelque conjecture. Je préfère la supprimer avec θ, cette suppression ne faisant aucun dommage au sens. – τεκμαιρόμενος K. – αὖτις ἀναπυριᾶν θ. — [8] ἢν.... ἔλαιον om. θ. – δοκέει J. – J'ai ajouté [ἡ] entre crochets. – ἐς τ' αὐτὴν G.

mangera des poireaux bouillis et crus, des radis, du cardame (*erucaria aleppica*), de l'ail grillé et bouilli; elle boira du vin pur, et prendra à son repas les poissons de mer indiqués plus haut. Quand les jours d'interruption sont passés, on fait la fumigation en jetant très-peu de chacune des poudres dans la fumigation qui a déjà servi, et on y ajoute du vin, et, si besoin en est, de l'huile; et l'on fait ainsi la fumigation. Quand les fumigations semblent avoir bien opéré, que l'orifice utérin paraît souple et ouvert comme il faut, et l'utérus lui-même s'être approché, on met, le jour suivant, après la fumigation, le pessaire à la myrrhe; on en a deux; après la mondification, le lendemain, on applique les émollients jusqu'à ce que l'inflammation soit dissipée; puis on use des bâtonnets et des plombs. Prenant en considération la force du sujet, on fumige de nouveau comme il a été dit. Si la fumigation qui se trouve toute préparée paraît encore bonne, on y jette des parfums comme précédemment, du vin et de l'huile; si elle ne paraît plus bonne, on en prépare une à nouveau. Quand on a fumigé de rechef de la même façon qu'on avait fait précédemment, on applique le pessaire avec la graisse; on a deux de ces pessaires, et on les met de la même manière que plus haut. Après les applications, le lendemain, on applique les émollients d'après la règle susdite. On se sert de ce médicament tous les quatre jours, après avoir administré une fumigation; il doit toujours être récemment préparé pour chaque application; on s'en sert jusqu'à ce qu'il vienne une humeur sangui-

ἐκβαλὼν CFGHIJK. - θυμ. om. C. — [9] δὲ δοκέῃ ἡ πυρίη εἶναι φλαῦρος θ. - δοκέῃ δὲ (δὲ om. C) αὐτὴ (αὐτὴ om. J; αὕτη C) ἄχρηστος εἶναι (addit αὕτη J) ἡ πυρίη vulg. - ἀρχῆθεν (sic) pro ἐξ ἀρχῆς θ. - παρασκευάζειν G. - ποιέειν θ. — [10] ὅταν δὲ προπυριάσῃς αὖτις τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ πρόσθετα, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅν περ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τα μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα θ. - ὅταν.... προπυριῶντα om. vulg. — [11] δεῖ (αἰεὶ pro δεῖ θ) δὲ vulg. - νεογμὸν K. - μέχρι ἂν ὕφ. μὴ καθαίρηται θ. - ὕφασμα (F, al. manu) G.

νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει, μέχρις ὅτου ὕφαιμα καθαίρηται· [1] ὅταν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. [2] Διαιτῆν δὲ τῷδε τῷ τρόπῳ· ἀνερωτᾷν ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτέῃ ἐγίνετο τὰ [3] καταμήνια· ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ· πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς· [4] ὅταν δὲ παύσηται, δοῦναι τυρὸν δριμὺν καὶ πήγανον οἴνῳ διέντα μέλανι, ἴσον ἴσῳ κεκρημένον· [5] ἔπειτα αὐτὸν ἄλφιτα ἐπιπάσαντα δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως· [6] εἶτα ἄριστον δοῦναι ἐν καιρῷ, ἐσθίειν δὲ μάζην ἢ ἄρτον καὶ πράσα ἑφθὰ [7] ἢ ὠμὰ, καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων, καὶ ἔτνος ἄλλοτε καὶ ἄλλοτε, τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν, καὶ σίλφιον πουλὺ [8] ἐγκλῶντα, καὶ σκόροδα ἐγκαθεψῶντα πολλὰ, ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσιν ὀξυγλύκεσι, [9] βολβιδίοισι, [10] σηπιδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, φύλλον ὑποτετριμμένον πίνειν [11] ὡς πλεῖστα, καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ' ἀρίστῳ [12] καὶ ἐπὶ δείπνῳ· λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, [13] ὅταν μέλλῃ ἀναπαύεσθαι. Ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερῶν πέντε ἢ ἓξ χρεέσθω· μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν ὅσον πυρῆνας ἓξ ἐν οἴνῳ ἀκρήτῳ καὶ σηπίης ὠὰ ὅσον δέκα ἢ δυοκαίδεκα· ταῦτα τρίψαντα ὁμοῦ λεῖα πρωῒ διδόναι νήστει πίνειν, καὶ μετὰ τὴν πόσιν ἐπισχοῦσαν λούεσθαι, καὶ πιεῖν τὸ πήγανον καὶ τὸν [14] τυρὸν, καὶ οὕτως ἀριστᾷν τι τῶν προγεγραμμένων· δειπνεῖν δὲ ὀψιαίτερον, λούεσθαι δὲ χρὴ δὶς τῆς ἡμέρης· αὕτη ἡ δίαιτα [15] ἴτω μέχρις ἡμερέων τρισκαίδεκα ἢ τεσσαρεσκαίδεκα. Ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, καταπότα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ

[1] Ὅταν θ. – ἢν vulg. — [2] Ante δ. addit ὅταν δὲ παύσηται θ. – διαιταν (sic) τούτῳ τῷ θ. – διαιτεῖν C. – ἀνερρωτᾶν C. – δὲ (δὲ om. Jθ) ἐν vulg. – ποίῃσιν θ. – αὐτῇ vulg. – αὕτη θ. – αὐτέῃ CDFGHIJKL. – ἐγίνετο θ. – γέγονε DH. – ἐγένετο vulg. — [3] ἐπιμήνια θ. – διαιτᾶν Cθ. – λοῦσθαι θ. – λούεσθαι C. — [4] ὅταν δ' οὖν π. L. – οἶνον G. – κεκρημένῳ D. — [5] ἐπὶ ταὐτὸν C (θ, τοῦτον). – ἐπιπάσσαντα CDHIJK. – πιεῖν δοῦναι C. — [6] εἶτ' θ. – μᾶλλον pro ἐσθίειν δὲ θ. – μάζαν CJ. — [7] καὶ pro ἢ Cθ. – ὁμοτρόπων FGJ. – ὁμοοτρόπων (sic) HI. – πάντων τ. πρ. om. θ. – καὶ ἄλλοτε θ. – καὶ ἀλ. om. vulg. – πολὺ Kθ. – πουλὺν G. — [8] ἐνκλῶντα θ. – ῥινῶντα vulg. – ἐγκαθέψοντα C. – χρήσθω L. – τῶν ἰχθ. om. Cθ. – τοῖς θ. – [ἐν] ὀξυγλ. Lind. – ὀξυγλαύκεσι (sic) CI. – ὀξυγλαύκοισι K. – ὀξυγλύνκεσι Q'. — [9] μολυβδίοισι FG. – μολιβδίοισι J. – βολβικιοδίοισι (sic) Ald. – σηπιδίοισί [τε καὶ] pro βολβ. Lind. – Post βολβ. addit πολυποδίοισι vulg. – J'ai supprimé ce mot, qui n'est qu'une glose, passée dans le texte, de βολβιδίοισι. — [10] σηπιδίοισιν θ. – σηπ. om. vulg. – φύλλον [δὲ] Lind. –

nolente; quand une telle humeur apparaît, on cesse. Le régime est ainsi réglé : on demande à la femme à quels jours ses règles sont venues; partant de ce point là, voici le régime qu'il faut suivre. D'abord la femme se lavera avec beaucoup d'eau chaude, sauf la tête; ainsi lavée, elle prendra du fromage âcre et de la rue mouillée avec du vin noir mélangé de partie égale d'eau; on saupoudre cette préparation avec de la farine d'orge, et elle la boit immédiatement après le bain. Puis on lui donne son déjeuner en temps convenable. Elle mangera de la polenta ou du pain, des poireaux bouillis ou crus, et toutes choses semblables, âcres et signalées plus haut, des purées de temps en temps dont on n'ôte pas l'écume, beaucoup de silphion concassé, de l'ail en abondance bouilli; pour plats elle aura des poissons cartilagineux, tous bouillis dans une saumure douce, de petits poulpes et de petites sèches dans un mélange de vin et d'huile; elle boira autant qu'elle pourra de feuille de silphion pulvérisée; elle mangera autant qu'elle pourra tant au déjeuner qu'au dîner. Elle prendra un bain après le dîner, au moment de s'aller coucher. Elle suivra ce régime pendant cinq ou six jours; après ce temps, elle prendra à jeun, le matin, de la graine de sureau, six grains dans du vin pur, et dix ou douze œufs de sèche; on broye le tout ensemble, et on le fait boire le matin à jeun. Après ce breuvage, elle laisse

ὑποτετ. C0. – ἀποτετ. vulg. — [11] ὡς πλεῖστα 0. – ὡς πλ. om. vulg. — [12] καὶ om. C. – λοῦσθαι 0. — [13] ἔπειτα pro ὅταν.... ἡμέρας 0. – αὕτη ἡ δίαιτα C. – μέχρις J. – χρεέσθω om. C. – νῆστι (sic) 0. – νήστει δι' ἀκτῆς C. – Cela se lirait : νήστιδι ἀκτῆς. – πυρρῆνας D. – πυρίνας vulg. – πυρῆνας H0, Lind. – ἓξ om. 0. – σιπίης FHIK. – σιπύης G, Ald. – δυόδεκα CFHIJK. – δυώδεκα D0. – λία 0. – πρωὶ διδόναι νήστει πίνειν, μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν, ἐπισχοῦσαν δὲ λούεσθαι, πιεῖν δὲ τὸ vulg. – πρωῒ διδόναι, καὶ μετὰ τὴν πόσιν ἐπισχοῦσαν λοῦσθαι, καὶ πιεῖν τὸ 0. — [14] τυρὸν, οὕτως (addit δὲ Lind.) ἀριστᾷν τὸν προγεγραμμένον τρόπον, δειπνεῖν vulg. – τυρὸν καὶ οὕτως ἀριστᾷν τι τῶν προγεγραμμένων, δειπνεῖν C (0, γεγραμμένων). – λοῦσθαι δὲ χρὴ δὶς τῆς ἡμέρης· αὕτη ἡ δίαιτα 0. – λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν· ἡ δὲ (ἡ δὲ om. C) δίαιτα vulg. — [15] ἤτω DFHIKL, Lind. – ἴτω μέχρις om. C0. – ἡμερῶν vulg. – ἡμερέων C0. – τρεισκαίδεκα D. – ἢ τεσσ. om. CK. – δ' αἱ ἡμ. αὗται J. – διέλθωσι, καὶ κατάποτα 0. – τοῦ ὁποῦ om. K. – τοῦτο τὸ πρῶτον 0. – ἄλλα (τἄλλα 0) τὰ vulg. – δ' ἡμέραι 0.

σιλφίου, ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον· μετὰ δὲ τοῦτο τἄλλα τὰ προγεγραμμένα ποιέειν. Ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν [1] ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ [2] ταὐτὰ, πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾷν, προτρῖψαι σκορόδου ἄγλιθας ὅσον τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμῖξαι ὀλίγα, καὶ [3] ποιῆσαι μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν, πρὸ δὲ τοῦ δείπνου ἄκρητον ἐπιῤῥοφέειν, καὶ οὕτω σιτεῖσθαι· τὰ δ' ἄλλα τὴν αὐτὴν διαίτην διαιτῆν. Ὅταν [4] δὲ ἐννέα ἡμέραι ἢ δέκα γένωνται διάλοιποι ἐς τὸν χρόνον, διδόναι καὶ μετὰ τῶν ᾠῶν [5] καὶ τῆς ἀκτῆς κύμινον αἰθιοπικὸν, καὶ τοῦ κάστορος ὅσον ὀβολόν. Ὅταν δὲ ἡμέραι [6] λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, [7] τὸ δὲ ξὺν τῇ δαιδὶ φάρμακον διδόναι λουσαμένῃ νήστει· μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου διδόναι λινόζωστιν καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, [8] ἡδύναντα ἐν ὀξυγλύκει καὶ ἁλσὶ καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ· [9] ταῦτα δίδου καὶ αὐτὰ τρώγειν καὶ αὐτὸν τὸν χυλὸν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν· ὄψοισι δὲ χρῆσθαι πουλυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. Ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ, [10] ἐπὶ δὲ τῷ δείπνῳ κρέας αἰγὸς, ἢ οἶος, ἢ ἀρνὸς δίεφθα, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων ὅ τι ἂν βούληται· λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. Αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας [11] τὰς ὑστάτας. Ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ κατασπασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα [12] τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς

jour, administrer une fumigation de tout le corps, et faire boire un médicament qui évacue par le haut, si la femme a l'habitude d'être évacuée par le haut, ou, si besoin paraît en être, par le bas, lait d'ânesse ou petit lait; faire de douces fomentations; appliquer à la matrice des émollients, du cyclamen et de l'huile de narcisse. Prendre le dedans de petites courges, ôter les graines, couper en morceaux, verser peu à peu du lait de femme nourrissant un garçon, triturer, mêler de la myrrhe pure, de l'excellent miel, du parfum blanc d'Égypte, faire une masse qui soit non pas humide mais assez sèche; emplâtrer cela dans une laine molle et propre, tremper dans du parfum blanc égyptien, et, après un bain, appliquer. La femme porte un bandage et se tient à l'ombre tant que dure la mondification. Quand elle vous paraît suffisante, vous cessez; sinon, vous en appliquez un autre. Après cela, faire un rouleau de laine molle, le tremper dans du nétopon, et l'appliquer pendant un jour; le lendemain, appliquer de l'huile de rose dans de la laine; puis, de rechef, dans de la laine encore, la graisse de cerf fondue. La femme se lavera toujours à l'eau chaude avant l'application des pessaires, et prendra des fumigations aromatiques, douces, très-prolongées; puis, après une interruption d'un jour, faire l'injection avec le grain de Cnide, si la femme est pituiteuse; l'injection avec la scammonée, si elle est bilieuse; pratiquer, dans l'un et l'autre cas, une contre-injection; le lendemain, injecter l'huile de narcisse et du vin doux; à défaut d'huile de narcisse, on prendra l'huile de lis ou celle d'iris, la meilleure possible; l'huile sera le tiers du vin. Puis, après une interruption de deux jours, elle appliquera le pessaire au pouliot pendant un jour. Si les

J. - σὺν θ. — [9] τὸ H. - σκαμωνίης θ. - καὶ om. Cθ. - τούτοισιν θ. - δ' Cθ. - δ' om. vulg. - ναρκ. ἐλαίω λευκῶ καὶ οἴνω θ. - σὺν vulg. - ξὺν (καὶ pro ξ. C) DH, Lind. — [10] εἴη vulg. - ἢ Cθ. - τὸ ναρκ. Cθ. - ἀνηθίνω Vatic. Codd. ap. Foes. - ἢ om. CDFGHIJK. - εἰρίνω θ. - ἠρίνω I. - ἠρινῶ GIJK. - μοίρα CGIθ, Frob. - διαλειποῦσα (sic) θ. - προσθέτω Dθ. - τῶ pro τὸ CDHθ. - σὺν θ. - τῶ pro τῇ J. - μήκωνι θ. - γλίχωνι J. - ἡμέραν vulg. - ἡμέρην Jθ. - ἡμέρην.... τρεῖς om. C. - μίην om. θ.

νῆστις τὸν κάστορα τρεῖς ἡμέρας [1] ἐν οἴνῳ εὐώδει λευκῷ· ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐμμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω, καὶ διανιψαμένη ὕδατι ψυχρῷ κυκεῶνα πινέτω ἄναλτον, σίτου δὲ μὴ [2] ἀψάσθω· ξυνευδέτω δὲ τῷ ἀνδρὶ δύο ἡμέρας ἢ τρεῖς. Ὁκόσον δ' ἂν χρόνον καθαίρηται, τὴν λινόζωστιν ἕψουσα ἐν ὕδατι, [3] κἄπειδὰν ἑφθὴ γένηται, ἐκθλίψαι· ὑποτρίβειν δὲ σκόροδα [4] καὶ κύμινον καὶ ἅλας, καὶ ἔλαιον ἀνακυκᾷν ἐν τουτέοισι, καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ ἀναζέσαι· τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν· σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα· ἢν [5] δὲ ἡ λινόζωστις μὴ ἁπαλὴ ᾖ λίην, ξυνεψεῖν χρὴ κράμβην, καὶ ἡδύνειν, καὶ προσηνὲς εἶναι, καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται, ἢν πάντα οἱ κατὰ κόσμον ἴῃ.

163. Ἢν δὲ τὸ στόμα τῶν μητρέων ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς [6] ἐρινέον· κἢν ἐπαφήσῃς τῷ δακτύλῳ, ὄψει σκληρόν τε καὶ ξυνιλλόμενον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια κεκρύψαται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὴν ὀσφὺν καὶ τοὺς κενεῶνας· ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται καὶ πνίγει. Ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ [7] πῖσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ προστιθέναι ἅσσα μαλθάσσει τὸ στόμα, καὶ ὑπάλειπτρον καθιέναι καὶ ἀναστομοῦν, τόν τε δάκτυλον ὡσαύτως, καὶ αἰονῆν. [8] Ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ἅσσα καθαίρει αἷμα, καὶ τῶν ποτημάτων διδόναι, καὶ πειρηθῆναι ὅ τι ἂν προσδέχηται· τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω.

164. Ἢν [9] αἱ μῆτραι ξυμμύωσι καὶ τὰ ἐπιμήνια μὴ φαίνηται,

[1] Σὺν (ξὺν Lind.) vulg. – ἐν Cθ. – τὰ ἐμμ. om. Cθ. – ἔμμηνα DFGIJK. – παραμόνια, emend. al. manu D. – παραμονιμαν (sic) sine ᾖ θ. – λούσθω θ. – διανιζομένη vulg. – διανιψαμένη θ. – ἄναλτον πινέτω θ. — [2] πάσασθαι θ. – πασάσθω C. – συν. θ. – ξυνευνέτω FGIK. – συνευνέτω J. – ὁπόσον θ. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. — [3] καὶ ἐπ. Cθ. – ἑφθῇ CKθ. – ᾖ pro γέν. C (θ, ᾖ). – ἐκθλίψαι om. θ. – ὑποτρίψαι sine δὲ θ. — [4] καὶ om. J. – Ante ἀνακ. addunt καὶ Cθ. – ἀνακικᾶν K. – ἐν τουτ. om. FĜHIJKL. – τούτοισι θ. – σίτων θ. – δὲ om. J. — [5] δ' θ. – λινόζωστις θ. – λινοζῶστις vulg. – λίην θ. – λείην vulg. – συν. J. – κράμβῃ vulg. – κράμβην CD (H, al. manu) JK. – γίνεται καὶ (ἢν pro καὶ Cθ) πάντα vulg. – οἱ om. J. – κόσμω εἴη θ. — [6] ἐρινὸς θ. – ἐπαφήσῃ vulg. – ἐπαφήσῃς θ. – ἐπαφάσῃ D. – ὄψῃ θ. – καὶ σκλ. καὶ Cθ. – ξυναλεόμενον vulg. – ξυνειλημένον Foes in not. – ξυνειλεόμενον Lind. – ξυνιλλόμενον θ. – ἐσίῃ J. – ταπιμήνια CHIKθ. – δέχονται Cθ. – τούτου θ. – ἴσχει θ. – νειέρην FGIK, Ald., Frob. – νιαιρὰν θ. – νειαιρὴν Lind. — [7] πεῖσαι θ. – κάτω om. K. – θερ. πολλ. HI. – τῷ θερμῷ πολλῷ Cθ. – ὑπάλειπτρον JKθ, Lind. – ὑπάλιπτρον vulg. –

règles viennent, elle boira, à jeun, le castoréum pendant trois jours dans du vin blanc de bonne odeur. Quand elles ont cessé après avoir duré leur temps, la femme prend un bain, puis, s'étant lavée à l'eau froide, boit un cycéon sans sel, ne goûte à aucun aliment, et dort avec son mari deux jours ou trois. Pendant tout le temps qu'elle se mondifie, elle fait cuire de la mercuriale dans de l'eau, et, quand elle est cuite, l'écrase; elle écrase aussi de l'ail, du cumin, du sel, agite de l'huile dans ce mélange, et, versant un peu de l'eau où a cuit la mercuriale, fait bouillir; elle mange cette préparation avant le repas. Elle prend le plus qu'elle peut d'ail bouilli et grillé. Si la mercuriale n'est pas très-tendre, il faut faire cuire du chou avec, assaisonner, rendre cela doux; et, si la femme devient grosse, elle guérit, à condition que tout ira selon l'ordre.

163. (*Autre cas d'orifice fermé et d'induration.*) Si l'orifice utérin se ferme, il devient résistant comme une figue sauvage; si vous touchez avec le doigt, vous le trouvez dur et contracté; il n'admet pas le doigt; les règles sont supprimées; le sperme n'est pas reçu durant tout ce temps. Douleur au bas-ventre, aux lombes et aux flancs; parfois la douleur se porte en haut et suffoque. Les choses étant ainsi, administrer un médicament qui évacue par le bas; laver avec beaucoup d'eau chaude; appliquer ce qui amollit l'orifice; l'ouvrir avec une sonde qu'on introduit, et avec le doigt semblablement; et pratiquer des affusions. Quand il est ramolli, appliquer ce qui fait venir le sang; donner des breuvages, en essayant quels sont ceux qui sont le mieux reçus; manger du chou et boire de l'eau où il a cuit.

164. (*Matrice fermée.*) Si la matrice est fermée et que les règles ne paraissent pas, coloquinte, cumin d'Éthiopie, nitre,

ἀναστόμου θ. – τόν τε (καὶ τὸν L) δάκτυλον (καὶ τῷ γε δακτύλῳ Lind.) καὶ (καὶ om. CLθ, Vatic. Codd. ap. Foes, Lind.) ὡσαύτως (ὡσ. om., D restit al. manu, FGHIJK) (addunt καὶ CLθ, Vatic. Codd. ap. Foes) λειοῦν (λοῦν· Vatic. Codd. ap. Foes; αἰωνῆν sic L; λιονῆν sic C; αἰονᾶν θ) vulg. — [8] ὁκόταν C. – πειρ. (πειραθῆναι θ) παρέχειν καὶ (καὶ om. Lind.) (παρ. καὶ om. Cθ) ὅ τ' ἂν ἄλλο (ἄλλο om. Cθ) πρ. vulg. – καὶ τὴν θ. – δὲ om. Cθ. – ῥυφείτω θ. — [9] ξυμμύσωσι αἱ μῆτραι καὶ τἀπιμήνια θ. – φύλλον pro κύμινον θ. – λίτρον θ.

χολοκυνθίδα ἀγρίην καὶ κύμινον αἰθιοπικὸν καὶ νίτρον καὶ ἅλας θηβαϊκὸν καὶ νεφρίδιον [1] καὶ ἄλευρον καὶ σμύρναν καὶ ῥητίνην, ζέσας πάντα ὁμοῦ [2] καὶ μίξας λεῖα, καὶ ποιήσας βάλανον, προστίθει.

165. Ἢν [3] θρομβωθέωσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, οὐδὲ ἡ γονὴ ἐμμένει. Τέως [4] ἂν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλέψας, καὶ σκόροδα, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον, ταῦτα τρῖψαι καὶ ξυμμῖξαι, καὶ ποιῆσαι βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν, [5] ὅσα τε δριμέα ἐστὶ καὶ ὑφ' ὧν καθαίρεται αἷμα, καὶ τῶν πομάτων [6] ἅσσα ὑστέρας καθαίρει.

166. Ἢν παρὰ φύσιν αἱ μῆτραι χάνωσι, [7] τὰ ἐπιμήνια χωρέει πλέονα καὶ γλίσχρα καὶ θαμινὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει, καὶ τὸ στόμα κεχηνός ἐστι, καὶ [8] οὐχ οἷόν τε εἰρύεσθαι τὴν γονὴν, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, [καὶ ὀδύνη] τὴν κάτω κοιλίην καὶ τὰς ἰξύας. Ἡ δὲ νοῦσος λάζεται ἐκ ῥόου αἱματώδεος, [9] γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. Ἡ δίαιτα γοῦν πρόσθεν εἴρηται. Χρὴ δὲ προσθέτοισι θεραπεύειν, ἐν ἀρχῇ μὲν καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν, ἔπειτα ἠρέμα στύφουσι, καὶ σπόγγοισι τὰ κάτω [10] τοῦ ὀμφαλοῦ πυριῆν μυρσίνης ὕδατι, ἢ βάτον ἐναφεψεῖν, ἢ ἐλαιῶν φύλλα, ἢ ῥόδων, ἢ οἰνάνθης, ἢ ἀμπέλου.

167. Ἢν τὸ στόμα τῶν μητρέων [11] ἀναχάνῃ μᾶλλον ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, τὰ ἐπιμήνια γίνονται πλείω καὶ κακίω πάντα καὶ ὑγρότερα καὶ διὰ πλείονος χρόνου, καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μέ-

[1] Καὶ ἄλ. repetitur C. – ἄλευρα θ. — [2] καὶ om. Cθ. – λία θ. – ποιέων C. – βάλ. ποιέων προστιθέσθω θ. — [3] θρομβοθῶσιν G. – θρομβωθῶσιν vulg. – θρομβωθέωσιν CL, Lind. – αὐτῶν vulg. – αὐτέων θ, Lind. – ἐπαφάσῃ D. – ὄψῃ θ. – ταπιμήνια CFHIθ. – γίνεται JL. – γίνονται vulg. – οὕτ' θ. – ἐμμ. om. CFGHIJθ, Ald. — [4] ἄνω δὲ FGHIJK. – ἔχει vulg. – ἔχῃ Cθ. – περιλύψας (sic) C. – σκόροδον θ. – συμμ. vulg. – ξυμμ. CD. – ποιέειν C. – ποιεῖν θ. — [5] ὅσα (addunt δὲ C; τε θ) δρ. τέ (τε om. θ) ἐστι vulg. – Post ἐστὶ addunt κατεσθίει (D, κατεσθίειν) GHIJ; καὶ κατεσθίει Cθ. — [6] ἅττα J. — [7] ταπιμήνια θ. – πλείονα vulg. – πλέονα DIK. – Post θαμινὰ addit καὶ πύκινα (sic) θ. — [8] οὐχοιονται (sic) θ. – εἰρύασθαι vulg. – εἰρύσθαι J. – εἰρύεσθαι Lθ, Lind. – J'ai ajouté entre crochets καὶ ὀδύνη, d'après tous les passages parallèles – λάζηται vulg. – λάζυται DFGHI. – λάζεται CJKθ, Lind. — [9] γίνονται vulg. – γίνεται JLθ, Lind. – ὅταν τἀπιμήνια θ. – ἡ om. θ. – δὲ pro γοῦν C. – θεραπεύειν om. Cθ. — [10] τοῦ om. θ. – πυριᾶν θ. – ἢ βάτου ἢ ἐλάων (ἐλάου DFGHIJL; ἐλά-

sel de Thèbes, graisse des reins, farine d'orge, myrrhe, résine, faire bouillir le tout ensemble, bien mêler, faire un pessaire et appliquer.

165. (*Caillots dans la matrice, signes.*) Si la matrice renferme des caillots, l'orifice devient comme plein de grains d'ers; si vous y touchez, vous le trouvez dans cet état; les règles ne viennent pas, et le sperme n'est pas retenu. Tant que cela dure, cyclamen dont on a ôté l'écorce, ail, sel, figue, un peu de miel, triturer et mêler, faire un pessaire et appliquer à l'orifice utérin, ainsi que les autres pessaires, qui, à la fois, sont âcres et propres à provoquer le sang, et les breuvages qui purgent la matrice.

166. (*Cas où l'orifice est béant.*) Si la matrice est béante contre nature, les règles sont plus abondantes, visqueuses, et viennent souvent, le sperme n'est pas retenu; l'orifice est béant et incapable d'attirer le sperme. Chaleur et frisson; douleur au bas-ventre et aux lombes. La maladie survient à la suite d'un écoulement sanguin; elle survient aussi à la suite de l'éruption subite de règles qui avaient été suspendues. Le régime a été exposé précédemment. Il faut traiter avec les pessaires, au début purgatifs à la fois et émollients, ensuite doucement astringents; fomenter les parties sous-ombilicales avec des éponges trempées dans l'eau où a bouilli du myrte ou des ronces, ou des feuilles, soit d'olivier, soit de rosiers, soit d'œnanthé (*phytolacca decandra*, d'après Fraas), soit de vigne.

167. (*Autre cas où l'orifice est béant.*) Si l'orifice utérin est béant plus qu'il n'a coutume d'être dans les menstrues, les règles sont plus abondantes, plus mauvaises, plus aqueuses et

του K; ἐλαίης Lind.) φύλλοις ἐναφεψῶν ἢ vulg. – ἢ βάτου (βάτον θ) ἐναφεψῶν (ἐναφεψεῖν θ) ἢ ἐλαιῶν φύλλοις (φύλλα θ) ἢ Cθ. – ἢ οἰνάνθην ἀμπέλου θ. — [11] ἀναχάνῃ (addunt μᾶλλον L, Foes in not., Lind.) ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, οὕτω (ἐν τ. ἐ. οὕτω om. Cθ) γένηται (γίνεται Foes in not., Lind.) τὰ ἐπιμήνια (τὰ ἐπιμ. γίνονται C; τἀπιμήνια γίνονται θ) πλείω vulg. – μᾶλλον est fourni par le passage parallèle, Nat. de la F. § 45. – χακείω θ. – οὐδ' ἐνμένει θ.

νει, ἀλλὰ πάλιν ἔξεισι· [1]κἢν ἐπιμένῃ, τὸ στόμα εὑρήσεις διαπεπλιχὸς, καὶ ἀδυναμίῃ ἴσχει ὑπὸ τῶν ἐμμηνίων, καὶ κούφη ἐστὶ καὶ ἄτονος, καὶ πρόσω χωρέει, τὰ δὲ [2]κράτεα χαλᾶται, καὶ πῦρ βληχρὸν, καὶ ῥῖγος, καὶ ὀδύνη [3]ἔχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. Πάσχει [4]δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ καὶ παγῇ, πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι, αἱ δὲ καὶ ἄλλως. Ὅταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, καὶ [5]κρισιμωτέρη ἔσται· κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι, καὶ τῷ ψυχρῷ λούειν, καὶ διαλείποντα κλύζειν, καὶ τῶν ποτημάτων διδόναι ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν ὁκόσα ξηραίνει, καὶ πουλύποδας ἐσθιέτω καὶ τὴν λινόζωστιν. Ἢν δὲ μὴ [6]μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ, καθίννυσθαι ἐν ὕδατι μυρσίνης ἐναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, [7]ἢ ῥόδων. Δίαιτα δὲ, ἣ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου· ἄριστον δέ οἱ βοήθημα δίψα, ἔμετοι θαμέες, [8]καὶ λουτρῶν εἴρξεις. [9]Ὁκόταν ἀναστομωθέωσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι καὶ μὴ μεμύκωσι, καθάρσιος δέονται καὶ κλυσμῶν καὶ θυμιημάτων.

168. Ἢν δὲ [10]λειανθέωσιν αἱ μῆτραι, τὰ ἐπιμήνια πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν οἴχεται, [11]καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον,

[1] Καὶ ἢν DJ, Lind. – ἐπιμείνῃ vulg. – ἐπιμένῃ θ. – Ante τὸ addunt καὶ Cθ. – Voy., pour ἐπιμένειν employé en ce sens, p. 350, l. 3. – εὑρήσει vulg. – εὑρήσῃ CK. – εὑρήσεις θ. – διαπεπληχὸς vulg. – διαπεπληγὸς C, Lind. – διαπεπλιχὸς θ. – ἐμμήνων CDGHIJK. — [2] ἀκράτεα θ. – Voy. le passage parallèle § 204. – χαλᾶ τε καὶ C. — [3] ἴσχει θ. – νειέρην FGHIK, Ald., Frob. – νειαιρὴν Lind. – νιαιρὰν θ. — [4] δὲ om. K. – ἤν τὶ om. D. – σήπηται καὶ θ. – ἔνιαι om. Cθ. – οὖν J. – γοῦν om. Cθ. — [5] κρησιμωτέρη G. – χρησιμωτέρη θ. – κάτω pro καὶ τῷ θ. – θερμῷ pro ψυχρῷ Lind. – διαλιπόντα C. – ἢν pro ἂν C. – ὑποθυμιᾶν θ. – ὅσα θ. – πολύποδας K. – τὴν om. J. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. — [6] μεμήκωσιν I. – καθίγνυσθαι vulg. – καθυγνῦσθαι (sic) C. – καθίνυσθαι H. – καθίννυσθαι DFGIJKθ, Ald., Frob. – μυρσίνου Ald. – ἐναφ. om. L. – σχίνον H. — [7] ἢ om. C. – δὲ om. Cθ. – ἣ pro ἢ C. – λέγεται θ. – ἄριστα J. – οἱ βοήθ. om. Cθ. — [8] καὶ om. Cθ. – εἴργεσθαι C (H, al. manu) θ. — [9] ὅταν θ. – ὁκ. [δὲ] Lind. – ἀναστομωθέωσι C. – ἀνοστομωθῶσι (sic) θ. – ἀναστομωθῶσι vulg. – μῆτραι DQ′. – μὴ om. C. – μεμ.. (μεμυκῶσι FGHIKθ, Ald., Frob.) καὶ (καὶ om. θ) καθ. δέωνται (δέονται KLθ, Foes in not., Lind.) vulg. – θυμιημ. C. – θυμιαμ. vulg. – θυωμάτων θ. — [10] ἀνθῶσι vulg. – ἐαθῶσι (sic) DHJ. – ἐανθῶσι IKLQ′. – ἀνθέωσιν C. – λεανθέωσιν θ. – λειανθῶσι Foes in not. – λειανθέωσιν Lind. – αἱ μῆτραι θ, Lind. – αἱ μ. om. vulg. – τἀπιμή-

plus prolongées; le sperme ne prend pas, n'est pas retenu et ressort. Si le mal persiste, vous trouverez l'orifice entr'ouvert. La matrice est dans l'adynamie par l'effet des règles; elle est légère et sans ressort, elle s'abaisse, et ses liens (*ligaments larges*) se relâchent. Fièvre lente, frisson, douleur au bas-ventre, aux flancs et aux lombes. Elle éprouve ces accidents surtout quand quelque chose, se détruisant en elle, s'y corrompt et s'y coagule; quelques-unes aussi les éprouvent à la suite de l'accouchement, et d'autres encore autrement. Les choses étant ainsi, il faut administrer un évacuant, qui rendra la solution plus facile. S'il y a douleur, faire des applications chaudes; laver avec l'eau froide; après un intervalle, faire une injection; donner ceux des breuvages qui sont le mieux reçus; administrer les fumigations qui dessèchent; manger des poulpes et de la mercuriale. Si la matrice n'est pas fermée comme elle doit, prendre un bain de siége dans de l'eau où a bouilli soit du myrte, soit du lentisque, soit des feuilles de vigne, ou d'olivier, ou de rosier. Régime : celui qui a été exposé à l'article de l'écoulement rouge (§ 110). Ce qu'il y a de plus utile, c'est la soif, des vomissements fréquents, l'abstinence des bains. Quand la matrice est ouverte plus qu'il ne faut et ne demeure pas fermée, elle a besoin de mondification, d'injection et de fumigation (de la Nat. de la F., § 45).

168. (*État lisse de la matrice, règles trop abondantes, et accidents qui en proviennent.*) Si la matrice devient lisse, les règles sont plus abondantes, plus mauvaises, plus aqueuses, et fréquentes; le sperme n'est pas retenu, et ressort; en touchant avec le doigt, on trouve l'orifice lisse; la femme est dans l'adynamie par l'effet des règles, fièvre, frisson, douleur au

νια θ. – γίνονται θ. – γίνονται πλείω C. – κακείω θ. – καὶ π. om. C. – πυκινὰ θ. – ἀλλ' (ἀλλὰ Cθ) ἡνίκα ἴῃ (ὑπίῃ Lind.; ἴοι J) (ἡν. ἴῃ om. C; πάλιν pro ἡν. ἴῃ θ) οἴχεται vulg. — [11] καὶ τῷ δ. τὸ στ. ἐπαφ. J. – καὶ τῷ δ. ὄψῃ τὸ στόμα λίον καὶ θ. – ἐπαφόμενος D. – ἐπ. om. C. – ὀδυνασίη (sic) pro ἀδ. C. – ἀδύνασιν (sic) ἢ pro ἀδ. θ. – ἐμμήνων FHIJK. – ἐμήνων (sic) D. – ῥῆγος I. – ἴσχει om. Cθ. – εἰς J. – νειέρην FGHIJK, Ald., Frob. – νειαιρὴν Lind. – νιαιρὰν θ.

καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει, ὀδύνη τε ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, μάλιστα [1] δὲ ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, [2] καὶ ἐκ τόκου καὶ ἄλλως. Ὅταν οὖν οὕτως ἔχῃ, θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται.

169. Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐπιμήνια [3] ἐπηλυγίζονται, καὶ ὁ τράχηλος ξυναρθμοῦται, καὶ πυρετὸς ὀξὺς [4] καὶ γνώμης ἁπτόμενος, καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται, καὶ ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτέῃ ἐπέρχεται· [5] ὁκόταν δέ τι φάγῃ, ταῦτα ἐμέει· καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει καὶ τὰς ἰξύας, καὶ ἀποψύχει, [6] καὶ περίψυξις ὅλου τοῦ σώματος· ἡ δὲ γαστὴρ τοτὲ μὲν σκληρὴ, τοτὲ δὲ μαλθακὴ, καὶ ἐμπίπραται, καὶ ἀείρεται, [7] καὶ δοκέει ἐν γαστρὶ ἔχειν· [8] ἔστι δ' ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρὸς, καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ τὸ στόμα ἰσχνὸν, καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια τρύζοντα, [9] καὶ ὀλίγα καὶ πονηρὰ, καὶ λεπτύνεται τὰς κληῖδας καὶ τὴν δειρὴν, καὶ οἱ πόδες οἰδίσκονται [10] καὶ αἱ πέζαι μάλιστα. Ὅταν ὧδε ἔχῃ, [11] φάρμακον πῖσαι κάτω, καὶ πυριῆσαι τὰς ὑστέρας ὡς εὐώδεσι, τὰς ἡμέρας τοῖσι μολυβδίοισι, καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι· καὶ μετὰ τὴν [12] πρόσθεσιν κλύζειν τὰς ὑστέρας· δύο πόσιας κνήστρου [13] ἑψῆσαι ἐν κοτύλῃ ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ κλύσαι, κοτύλην ξυμμίξαντα μέλιτος καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθινοῦ· μετὰ δὲ ταῦτα διαλιπεῖν

[1] Δὲ om. C. – ἐν ἑωυτῇ (ἑωυτῷ C; αὐτῇ θ) vulg. — [2] ἢ καὶ ἐκ τ. ἢ ἄλλως C. – οὖν om. C. – ὅπου θ. — [3] ἐπιλυγίζονται θ. – ἐπηλυτίζονται θ. – ἐπηλυγίζονται D. – ἐπηλυγήζονται HI. – ξυναρθμιοῦται FGHIJ. – ξυναριθμιοῦται (D, al. manu ξυναραχνοῦται) K. – ξυναρθμοῦται Vatic. Codd. ap. Foes, Lind. – ξυναρμοῦται L, Vatic. Codd. ap. Foes. – συναρθμοῦται θ. – ξυναραχνοῦται vulg. – Gal. Gl. : συναρθμοῦται, συναρμόζεται. – Erot. p. 350 : συναρθμοῦται, συναρμόζεται καὶ συνενοῦται· ἀρθμὸς γὰρ λέγεται ἡ εὔνοια καὶ ἡ φιλία· ὡς καὶ Καλλίμαχός φησιν· ἀρθμὸν δ' ἀμφοτέροις καὶ φιλίαν ἔταμον. — [4] καὶ om. θ. – ὀλίγον J. – οἱ om. Jθ. – ὅταν θ. – ἔμετός τις (τις om. Cθ) αὐ. (αὔτη θ) vulg. — [5] ὅταν θ. – δὲ θ. – δὲ om. vulg. – ἐμέῃ θ. – νειέρην FGIK, Ald., Frob. – νιαιρὰν θ. – νειαιρὴν Lind. – ἀποψυχέει vulg. – ἀποψύχει DFGHIJKθ. – Post ἀπ. addunt ἢ λειποψυχέει DFGHIJK (θ, λιποψυχέει). — [6] ἢ καὶ C. – δι' (δι' om. Cθ) ὅλου vulg. – τότε (bis) CFIθ, Ald., Frob. – σκληροτέρη C. – ἐμπίπλαται DH. – πιμπρᾶται θ. – αἴρεται vulg. – ἀείρεται θ. — [7] καὶ ἐν γ. δ. C. — [8] καὶ ἔστιν ὅτε θ. – κενεῶν FI. – κενεὼν G, Ald., Frob. – ἐνπιμπλᾶται θ. – τρίζοντα FGIJ. – στάζοντα L, Lind. — [9] καὶ om. θ. – καὶ λε

bas-ventre, aux lombes et aux flancs. Cela arrive surtout quand quelque chose, se détruisant en elle, s'y corrompt; cela arrive aussi à la suite de l'accouchement et autrement. Les choses étant ainsi, on emploiera, là où il y a douleur, les moyens qui ont été écrits pour les cas précédents (Nat. de la F., § 46).

169. (*Métrite.*) Si la matrice s'enflamme (de la Nat. de la F., § 11), les règles se suppriment, et le col se ferme. Il y a une fièvre aiguë et causant le délire. Il survient un écoulement mauvais et peu abondant. Quand la femme est à jeun, elle est prise de vomissement; si elle mange quelque chose, elle le revomit. Douleur au bas-ventre, aux lombes; défaillance; refroidissement de tout le corps. Le ventre est tantôt dur, tantôt souple; il se gonfle et se soulève; et la femme paraît être enceinte; d'autres fois la plénitude du ventre semble vide. L'abdomen se remplit d'eau, le nombril devient saillant; l'orifice utérin est mince, et tout à coup les règles apparaissent avec tranchées, elles sont en petite quantité et de mauvaise nature. La femme maigrit des clavicules et du cou. Les pieds enflent, surtout les chevilles. Les choses étant ainsi, donner un médicament qui évacue par le bas; administrer des fumigations utérines avec les aromates; pendant le jour, mettre les plombs; laver, avant de les placer, avec une eau chaude qui n'ait rien d'irritant; et, après qu'ils sont retirés, faire une injection ainsi composée : cnestron (*Daphne oleoides*), deux potions, faire cuire dans une cotyle d'eau, décanter, mêler une cotyle de miel et d'huile de narcisse ou de lis, et injec-

πτύνει τε τὰς CDFGHIJKθ. — [10] καὶ om. Gal. in cit. in Gl. – D'après Galien, πέζαι dans ce passage était entendu ou du pied, ou des chevilles. — [11] Ante ς. addit χρὴ J. – καὶ (καὶ om. Lind.) προσθέτοισι (πρ. om. θ) πυριῆσθαι (πυριῆσαι CDHIK; πυριῆται L; πυριάσαι θ) vulg. – μολιβδίοισι CDJKθ. – προθέσιος FGHI. — [12] πρόσθεσι θ. – τὰς ὑστέρας θ. – τὰς ὑστ. om. vulg. – κνήστρου δύο πόσιας θ. — [13] ἐψ. κοτύλην (ἐν κοτύλῃ θ) vulg. – καὶ.... κοτύλην ὕδατος repetitur F. – ἀποχέοντα C. – κλύσαι addit ἐν θ, κοτύλην ὕδατος (ὕδ. om. C, D restit. al. manu, IJKθ), ξ. (σ. θ) (addunt μέλιτος Cθ, Vatic. Codd. ap. Foes) καὶ vulg. – ἀνθίνου CDJθ, Frob. – τουτο C. – ταῦτα om. θ. – διαλείπειν θ. – σὺν θ. – σιτίου θ. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg.

ἡμέρας τρεῖς· εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει, καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἑψοῦσα [1] ξὺν οἴνῳ ποσῷ ἐσθιέτω ὡς κράμβην καὶ τὸν χυλὸν ῥοφεέτω. [2] Ἢν δὲ ἐπιμένῃ, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. Σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν ἑφθοῖσι τακεροῖσι, θαλασσίοισι δὲ μᾶλλον ἢ κρέασιν, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι τακεροῖσι, καὶ ταλαιπωρέειν ὡς πλεῖστα καὶ πρὸ τοῦ [3] σιτίου καὶ μετὰ τὰ σιτία, καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ, καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω· τὰς δὲ διὰ μεσηγὺ τῶν καθαρσίων ἀδίαντον πινέτω, ἐν ὄξει κεκρημένῳ νῆστις. Ἡ δὲ νοῦσος θανατώδης, ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται, ἢν μὴ ἐν γαστρὶ ἔχωσιν.

170. [4] Φλεγμασίης μητρέων· τὰ ἐπιμήνια ἐπηλυγίζονται, καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμέει, [5] ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ ὅλη ἡ κοιλίη ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ [6] γίνεται, καθίσταται δὲ οὐ πάνυ· κοιλίη μεγάλη γίνεται καὶ οὐ καθαίρεται, καὶ δοκέει κυεῖν, καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες· καὶ ἢν θιγγάνῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ, καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι, καὶ τὰ ἐπιμήνια ὀλίγα καὶ κακίονα. Ταύτην φάρμακον [7] χρὴ πιπίσκειν κάτω, καὶ προστιθέναι τῶν καθαρτικῶν, καθαρθεῖσα δὲ ὑγιὴς γίνεται.

171. Ἢν [8] φλεγμαίνηται ἡ μήτρη, ψαύεται· ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ καὶ μέγα, καὶ [9] φρίκη σκληρή·

[1] Σὺν vulg. - ξὺν C, Lind. - οἴνου JK. - τὴν pro ὡς θ. - καὶ om. Lind. - ῥυφείτω θ. — [2] εἰ δ' θ. - ἐπιμένῃ Cθ. - ἐπιμένοι vulg. - χρῆσθαι θ. - ἄρτισοι (sic) C. - ἀκροκολίοισιν FGI. — [3] σίτου (σιτίου θ) κ. μ. τὸ (τὸν L, Lind.) σῖτον (τὰ σιτία Cθ) vulg. - λοῦσθαι θ. - παντ. om. C. - τὰ pro τὰς D. - μεσσηγὺ CJ. - καθάρσιων H. - καθάρσεων CIK. - κεκρημένα FG. - κεκρυμμένῳ J. - νῆστιν C. - νόσος vulg. - νοῦσος CDHθ, Lind. - ἐκφεύγειν δ' θ. - μὲν pro μὴ L. - Dans vulg. le point est après δύνανται, et une nouvelle phrase commence à ἤν. Linden, avec toute raison, a mis le point après ἔχωσιν, et commencé une nouvelle phrase à φλεγμασίης. — [4] ὑπὸ φλ. Foes in not. - [ὑπὸ δὲ] φλ. Lind. - ἐπηλυτίζονται θ. - ἐπιλυγίζονται vulg. - ἐπιλογίζονται J. - ἐπηλυγάζονται D. - ἐπιλυγήζονται H. - ὅταν Dθ. - ἐμεῖ vulg. - ἐμέει θ, Lind. — [5] ἢν θ. - βεβρώκει Cθ. - ἴσχει CGJθ. - νειέρην FGHIK, Ald., Frob. - νειαιρὴν Lind. - τότε (bis) C. - τοτὲ (bis) θ. - σκληροτέρα D. - σκληρὴ θ. — [6] γίν. καὶ (καὶ om. Cθ, Lind.) καθ. (καθέζεται Lind.) vulg. - καὶ οὐ (οἱ pro οὐ Foes in not., Lind. ; οὐ om. θ) δοκέει vulg. - κύειν vulg. - ὅσα CJθ. - περ om. DFGHIJ. - κἂν vulg. - ἢν C. - καὶ ἢν θ. - κλῆμα pro οἰδ. J. - γνοίης om. C. -

ter; mettre un intervalle de trois jours, puis faire l'injection au vinaigre. Avant le repas, la femme fera cuire de la mercuriale avec un peu de vin, la mangera comme du chou, et en boira la décoction. Si le mal persiste, administrer les médicaments qui évacuent l'eau de la matrice. User de pain, d'herbages bouillis fondants, de poissons de mer plutôt que de viandes, ou d'extrémités d'animaux bouillies et fondantes; se donner autant de fatigue que possible et avant le repas et après; se laver très-peu à l'eau froide; s'abstenir de toutes les choses douces et grasses; dans les jours entre les mondifications, boire, à jeun, de l'adiante dans du vinaigre coupé. La maladie est dangereuse; peu de ces malades réchappent, à moins qu'elles ne deviennent grosses.

170. (*Autre métrite.*) Inflammation de la matrice : les règles se suppriment; la femme, quand elle est à jeun, vomit; et, quand elle a mangé, elle souffre au bas-ventre et aux lombes. Le ventre entier est tantôt plus dur, tantôt mou; mais il ne revient pas complétement à son état naturel. L'abdomen devient gros et ne se purge pas; la femme paraît enceinte, et éprouve tout ce qu'éprouvent les femmes grosses. Si vous palpez le ventre, vous en sentez le gonflement léger comme d'une outre; et, quand le moment d'accoucher paraît venu, la matrice s'affaisse, et il vient des règles en petite quantité et de plus mauvaise nature. En ce cas, il faut administrer un médicament qui évacue par le bas; et appliquer, parmi les pessaires, ceux qui mondifient; en effet, mondifiée, elle guérit.

171. (*Autre métrite.*) Quand la matrice s'enflamme, elle a quelque contact. Si alors l'inflammation s'accroît et redouble,

ὅταν θ. – ταπιμήνια θ. – ὀλ. [γίνεται] καὶ Lind. — [7] χρὴ om. C. – πιπίζειν (sic) HIK. – ἢ προστιθέναι τῶν καθαρτηρίων θ. — [8] φλεγμήνωσιν αἱ μῆτραι θ. – φλεγμαίνη τε ἡ C. – οὐ ψαύει pro ψαύεται θ. – τις C. – τε καὶ πάλιν κοταίνει (sic) θ. – Ante πῦρ addunt καὶ Cθ. – ἔχη H. — [9] φρίκη, σκληρὴ (σκληρὰ Foes in not.) (φρίκη σκληρή· Lind.) τὰ (τὰ om. θ) vulg. – Je prends le changement de ponctuation et la correction de Lind. – αἰδ. (addit χωρία θ) ἐκπάγλως (ἐπαγλῶς sic C) τε (τε om. CKθ) αἴσθεται (αἴθεται θ) vulg. – ὁρμᾷ vulg. – ὀργᾷ θ.

τὰ ἀμφὶ τὰ αἰδοῖα ἐκπάγλως αἴθεται καὶ δάκνεται καὶ ὀργᾷ, καὶ [1] εἴ τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει καὶ [2] ἀδάζεται, καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὸ βρέγμα, καὶ ἀχλὺς, καὶ ἱδρὼς μετωπίδιος, [3] καὶ τὰ ἄκρεα ψύχονται καὶ τετρεμαίνουσι, καὶ κῶμα ἔχει ἄλλοτε [4] καὶ ἄλλοτε, καὶ ἐσακούειν οὐκ ἐθέλει· οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ· ἀσιτίη πολλὴ, [5] καὶ στόμαχος οὐ πάμπαν εἰρύεται τὴν τροφὴν οὐδὲ ἡ κοιλίη, καὶ βοᾷ, καὶ ἀναΐσσει, καὶ [6] ὀδυνᾶται τό τε ἦτρον [7] καὶ τοὺς βουβῶνας [8] καὶ τὰς ἰξύας καὶ παραφάσιας, καὶ ταχὺ θνήσκουσιν· ἢν δὲ αἱ ὀδύναι καταιγίζωσι, σπόγγοισι θερμοῖσιν ἐξ ὕδατος [9] ἢ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι· καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου καὶ χηνὸς ἄλειφα καὶ κηρὸν λευκὸν καὶ ὠοῦ τὸ πυῤῥὸν ἢ [10] κηρωτὴν πισσηρὴν προστιθέναι ξὺν ῥητίνῃ· καθαίρειν δὲ ὀνείῳ γάλακτι ἢ αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος· οἶνον δὲ μὴ πίνειν, καὶ πτισάνης χυλὸν ῥοφεέτω.

172. [11] Μητρέων ὀδύνης ἔγχυτον· ἢν ὀδύνη μοῦνον ᾖ σπερχνὴ καὶ βίαιος, ἀχλὺς ἐν τῇσι μήτρῃσιν [12] ἔνι, καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει, κακόν· δεῖ οὖν οὕτως θεραπεύειν· ἀνδραφάξιος ἀγρίης καρπὸν καὶ τεῦτλα τρίψας ὁμοῦ λεῖα, χλιήνας τε, ἔγχεον ἐς τὰς μήτρας. Ὑστερέων [13] ὀδύνης παῦον· οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας τρία ἡμίχοα ἀττικὰ, μαράθου ῥίζας καὶ τοῦ καρποῦ τριτημόριον, [14] καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον· ταῦτα ἐμβαλεῖν ἐς ἐχῖνον καινὸν

[1] Ἢν J. – ἐπαφῆσαι C. – ἐπαφήσαιτο θ. – αὖτις Cθ. — [2] ἀλάζεται θ. – αὐδάζεται (D, al. manu ἀδάξεται) LQ'. – ὀδάξεται J. – ἱδρώς τε pro καὶ ἱδρὼς θ. – μετωπιδαῖος vulg. – περιμετωπίδιος θ. – Lobeck, Phryn. Ecl., p. 557 : Nullus dubito, quin legendum sit μετωπίδιος. — [3] καὶ J. – καὶ om. vulg. – τὰ om. Cθ. – ψύχ. om. θ. – τετραμένουσι θ. – τετρεμμαίνουσι J. – τετραμαίνουσιν C, Ald. — [4] καὶ ἄλλοτε θ. – καὶ ἄλλ. om. vulg. — [5] καὶ [ὁ] στ. Lind. – εἰρύαται vulg. – εἰρυᾶται θ. – In marg. φυλάττει H. – εἰρύεται Foes in not., Lind. – καὶ (οὐδὲ pro καὶ J) ἡ κ. vulg. — [6] οὐ δύναται pro ὀδ. FG (J, δυνᾶται sic) vulg. – ὀδ. πᾶσα καὶ ἦτρον καὶ β. Cθ. — [7] καὶ om. DFGHIK. – τούς τε pro καὶ τοὺς J. — [8] καὶ om. DFGHIK. – τὰς om. θ. – καὶ [τὰς] παραφύσιας Lind. – παραφάσιας D. – παραφύσιας vulg. – παρὰ φύσιας J. – Gal. Gl. : παραφᾶσαι, παράψασθαι μετὰ καθέσεως, ὥσπερ τὸ ἐσαφάσασθαι, εἰσβαλόντα τὴν χεῖρα ἅψασθαι· ἐντεῦθεν δὲ καὶ τοὺς κρυπτοὺς τόπους τοὺς κατὰ τὸ γυναικεῖον αἰδοῖον παραφάσιας ὀνομάζουσι. – τάχα C. – καταγνῶσιν (καταγυιῶσιν Foes in not., Lind. ; καταιτίζωσι sic θ), ὡς (ὡς om. θ, Lind.) σπ. vulg. – Lisez καταιγίζωσι. – θερμοῖς θ. – Ante ἐξ addit καὶ J. — [9] καὶ (ἢ Cθ) vulg. – ἐκπεπιεσμένου G. – ἐξεπιεσμένοισι (sic) πυριᾶν θ. – καὶ προστ. om. J. – Ante μαλθ.

il y a fièvre aiguë et grande, frisson qui durcit, chaleur excessive aux parties génitales, sentiment de morsure et turgescence. Si on touche avec le doigt, le mal empire, les parties sont irritées. Douleur à la tête et au sinciput, brouillard, sueur au front, refroidissement et tremblement des extrémités, coma par intervalles; la malade ne prête pas l'oreille. La matrice est sans activité. Inappétence; ni l'œsophage, ni le ventre n'attirent la nourriture. Les malades crient, s'élancent, souffrent au bas-ventre, aux aines, aux lombes et à l'intérieur des parties génitales. Elles succombent rapidement. Si les douleurs sont pressantes, fomenter avec des éponges chaudes trempées dans l'eau ou dans l'huile et exprimées; appliquer des pessaires émollients, moelle de cerf, graisse d'oie, cire blanche et jaune d'œuf, ou du cérat poissé, résine; purger avec du lait d'ânesse ou de chèvre, ou du bouillon de poulet; ne pas boire de vin; prendre en potage de la décoction d'orge passée au tamis.

172. (*Différentes recettes contre les douleurs utérines.*) Infusion utérine pour la douleur de matrice : s'il y a seulement une douleur pressante et intense, une fuliginosité est dans la matrice, le vent ne sort pas, il y reste; cela est mauvais. On traitera ainsi : prendre graines d'arroche sauvage et bette, broyer ensemble, faire tiédir, et infuser dans la matrice. Moyen propre à calmer les douleurs utérines : prendre un conge et demi attique de vin très-doux, le couper d'eau par moitié, racine et graine de fenouil un quart, huile de rose une demi-cotyle; jeter cela dans un vase neuf, puis verser le vin,

addit καὶ C. – ἄλειφαρ D. – πυρὸν C. — [10] κηρῷ τὴν π. Lind. – κηρωτὴν τὴν π. Q'. – σὺν θ. – οἴνῳ ἢ γάλ. αἰγείῳ vulg. – οἴνω (ὀνείω θ) γάλ. ἢ αἰγ. Cθ. – μὴ om. D. – πτισσ. DH. – ῥοφείτω θ. — [11] μ. ὀδ. ἔγχ. om. J. – ἦν ἡ ὀδ. C. – Weigel, Dict. de Schn. Suppl., regarde ἀχλὺς comme une fausse leçon, et pense qu'on doit lire ὄχλος en place. — [12] ἐνῇ J. – ἐξίη J. – μένη J. – δεῖ ο. ο. θερ. om. Cθ. – γοῦν J. – ἀνδραφάξυος D. – σεύτλα (sic) C. – τε om. Cθ. – ἐς CHIKθ, Lind. – εἰς vulg. — [13] ὀδύνης C. – ὀδύνας vulg. – παῦον om. C. ἡμιχόεα D. — [14] καὶ om. DFGHIJK. – ἔλαιον C. – ἐμβάλλειν C. – εἰς J. – ὄχιγον Cθ. – κενὸν C. – τὸν θ. – τὸν om. vulg. – πυριᾶσαι θ.

καὶ τὸν οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι. Προστιθέναι [1] δὲ καὶ σκίλλην, ἔστ' ἂν τὸ στόμα μαλθακὸν ᾖ καὶ φαρκιδῶδες.

173. Καὶ ὅταν ἐν [2] τῇ καθάρσει φλύκταιναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης θύωσιν, οὕτω θεραπεύειν· σάρκα βοὸς πικερίῳ ἢ χηνείῳ στέατι καὶ ἀννήσῳ χρίσασα λείοις, τὴν σάρκα ἐς τὸ αἰδοῖον ἐντιθέναι.

174. Ἢν ἐρυσίπελας ἔχῃ [3] τὰς μήτρας, οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς καὶ τὸ σῶμα, καὶ πόνος αὐτὴν κατέχει, καὶ ὀρθόπνοια γίνεται, καὶ ἀλγέει τοὺς κενεῶνας καὶ τὸ ὑπογάστριον καὶ τὰ στέρνα καὶ τὴν κεφαλήν· τρόμος [4] τε ἔχει, καὶ τὰς χεῖρας νάρκη καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰγνύας τρέμει· ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι [5] πελιδναὶ γίνονται, καὶ κουφίζει ὀλίγον χρόνον, καὶ ἡ χροιὴ, μάλιστα δὲ καὶ οἱ μαζοὶ αἰείρονται κατὰ τὴν ὁμοεθνίην· ἀλλὰ [6] γὰρ οὐ πάνυ τι ἀλγέει, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται, καὶ δίψα ἰσχυρὴ, καὶ τὸ [7] ἴκταρ ξηραίνεται. Ταῦτα ἢν ἐγκύμονι [8] περιπέσῃ, θνήσκει, καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν.

174 bis. Ἢν ἐρυσίπελας ἐν τῇσι μήτρῃσι [9] γένηται, οἰδήματα γίνεται πλεννωδέστατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα ἐς τὰ σκέλεα πάντα καὶ ἐς τὴν ὀσφύν. Ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, καὶ ὁ θώρηξ ἐπαΐει, καὶ οἰδίσκεται, καὶ περιψύχεται πᾶσα, καὶ πῦρ ἔχει μέγα, καὶ

[1] Δὲ καὶ om. Cθ. – σκίλλῃ K. – σκίλλαν θ. – φορακιώδει C. – θωρακιῶδες J. – φοργανῶδες Foes in not., Lind. – φορακιῶδες vulg. – Gal. Gl. : φαρκιδῶδες, ῥυτιδῶδες. – Erot. p. 388 : φαρκιδῶδες, ῥυτιδῶδες· φαρκὶς γὰρ λέγεται ἡ ῥυτίς. – On ne peut guère douter qu'il ne faille lire φαρκιδῶδες; car la glose d'Erotien appartient aux livres des Maladies des Femmes. — [2] τῇ θ. – τῇ om. vulg. – ἀνὰ τὸ στ. τ. ὑστ. φλυκτῆναι J. – φλυκταίναι (sic) (D, al. manu, erat prius φυκταίναι) Iθ. – φλεκταίναι (sic) F. – φλυκταῖναι GK, Ald., Frob. – φλυκτέναι CH. – τὸ om. C. – φύσωσιν vulg. – φύωσι J. – φυσῶσι C. – θύωσι θ. – οὕτω θερ. om. Cθ. – βοὸς ἢ (ἢ om. Lind.) πικ. (πικέριον θ) (ἠπικερίω pro ἢ π. I; ἐπικαιρίῳ L) (addunt ἢ Foes in not., Lind.) χην. vulg. – La correction de Foes, adoptée par Lind., paraît la bonne. – ἀννήσῳ (ἀνήσσω θ; ἀνίσω CDH; ἀνήσω JK) τρίψαι (χρίσασα pro τρ. θ; τρίψας Lind.) λείως (λεῖα Cθ; λεῖοις sic, correctum ex λίοις θ) τὴν σάρκα (addunt χρίσας Foes in not.; καὶ χρίσας Lind.) καὶ (καὶ om. Cθ, Lind.) ἐς vulg. — [3] ἐν τῇσι μήτρῃσι Cθ. – τὸ σῶμα ὅλον θ. – πόνος μιν λαμβάνει C. – πόνος λαμβάνει μιν θ. – ὀρθόπνια C. – ὀρθοπνοίη θ. – ἀλγέει om. θ. — [4] τ' C. – τε om. θ. – ναρκᾶ θ. – τρέμειν C. – ἰγνίῃσι HI. – ὑγνύῃσι C. — [5] καὶ (καὶ om. θ) πελιδναὶ (πολλὰ pro πελ. θ) γίν. (γίγνονται D) vulg. – κουφίζῃ C. – πολλὸν pro ὀλίγον θ. – ἡ om. FG. – αἰείρονται (sic) θ. – ὁμοεθνίαν FGHIJK. — [6] γὰρ καὶ οὐ Cθ. – πυρετὸς Cθ. – γίνεται om. θ. – δίψη D. — [7] ἧπαρ vulg. – ἧπαρ θ. – Erot. p. 190 et Gal. Gl.

et faire une fumigation. Appliquer aussi la scille jusqu'à ce que l'orifice soit souple et ridé.

173. (*Phlyctènes à l'orifice utérin.*) Quand, pendant la purgation menstruelle, des phlyctènes se développent à l'orifice utérin, on traitera ainsi : enduire de la chair de bœuf avec du beurre ou de la graisse d'oie et de l'anis triturés ensemble, et introduire ce morceau de chair dans les parties génitales.

174. (*Phlegmasie utérine; symptômes singuliers.*) Si un érysipèle se forme à la matrice, les pieds enflent, ainsi que les mamelles et le corps, la femme souffre, elle a de l'orthopnée ; douleur aux flancs, à l'hypogastre, au sternum et à la tête ; tremblement, engourdissement dans les bras et les aines ; les jarrets tremblent ; parfois aussi, il survient des lividités dans les jarrets, ce qui soulage pour un peu de temps. La surface du corps se gonfle, et surtout les mamelles par la sympathie. La malade ne souffre pas extrêmement. Il y a fièvre et frisson ; le visage rougit ; soif intense ; et les parties génitales se sèchent. Si ces accidents surviennent chez une femme enceinte, elle succombe sans qu'elle puisse réchapper.

174 bis. (*Autre rédaction du § précédent.* De la Nat. de la F., § 12.) Quand l'érysipèle se forme dans la matrice, il survient des gonflements très-pituiteux, commençant aux pieds et s'étendant aux jambes entières et aux lombes. A mesure que le mal se prolonge, la poitrine s'en ressent ; la femme enfle, se refroi-

ont la glose ἴκταρ. Héringa (dans Erot. ib.) fait très-bien voir que cette glose appartient aux livres des Maladies des femmes, et même au deuxième livre ; et, comme ἧπαρ ne donne aucun sens satisfaisant, il en conclut avec toute raison que Erotien et Galien ont lu ici non ἧπαρ mais ἴκταρ. Trois explications avaient été données de ce mot : 1° Suivant Erotien il signifiait *près*, et la phrase voulait dire, *et la partie environnante se sèche ;* 2° suivant Galien, les parties naturelles de la femme ; il faudrait alors traduire : *et les parties naturelles se sèchent ;* 3° enfin Ischomaque et Cydias de Mylasa lisaient ἴκμαρ, et il faudrait traduire : *et l'humidité se sèche.* — [8] περιπέσοι DHIJ. – καὶ οὐκ ἂν ἐκφύγῃ C (θ, ἐκφύγοι). – δυνήσηται D. δυνήσοιτο J. — [9] γίνηται Jθ. – γέν. om. Ald. – γέν., οἰδ. om. G. – πλευμωδέστατα θ. πελιωδέστατα vulg. – τοῖν ποδοῖν C. – ἀρξ. καὶ (καὶ om. Cθ) ἐς vulg. – κοῖλα pro σκ. K. – πλείω C. – πλείω γίνηται θ. – γένηται vulg. – θώρηξ DHJ. – ἐπασιει (sic) θ.

ῥῖγος ἐπιλαμϐάνει, καὶ πνεῦμα [1] πυκνὸν, καὶ λιποθυμίη, καὶ ἀσθενείη, καὶ ὀδύνη παντὸς τοῦ σώματος· δυσθυμέει τε καὶ αἰολᾶται τῇ γνώμῃ, καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης ἐς τὰς ἰξύας [2] καὶ ἐς τὰ νῶτα καὶ τὰ ὑποχόνδρια καὶ τὰ στέρνα [3] καὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν καὶ τὸν στόμαχον, καὶ δοκέει θανεῖσθαι· ὁκόταν δὲ λύηται ἡ ὀδύνη, νάρκη ἔχει τὰς ἰξύας καὶ τοὺς βουϐῶνας καὶ τὰ σκέλεα, καὶ [4] τὰ ἐν τῇσιν ἰγνύῃσι πέλια γίνεται, καὶ ὀλίγον χρόνον δοκέει ῥάων εἶναι· ἔπειτα αὖθις πονέεται, καὶ ὁ χρὼς φλυκταινέων καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται προφανέα καὶ δηλεόμενα, καὶ ὁ φάρυγξ αὖος, [5] καὶ ἡ γλῶσσα τρηχείη. Αὕτη ἡ νοῦσος εἰ ἐγκύμονα σχοίη, κτείνει. Ἢν δὲ μὴ, ἰητρείην χρὴ προσάγειν· ὄνου γάλα πιπίσκειν καὶ καθαίρειν· ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην [6] ἐν μαλθακοῖσι ψύγμασι, καὶ προσθέτοισι μὴ περισκελέσι, καὶ καθῆραι κούφοισιν ἐκ τοῦ κατ' ὀλίγον, καὶ ἐμέειν· ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμϐάνειν ἑφθὰ ξὺν ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ· ἢν δὲ τὸ πῦρ μεθίῃ, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα. Παῦραι δὲ ὑγιαίνονται.

175. [7] Ὕδερος δὲ γίνεται ἐν τῇσι μήτρῃσι· τὰ ἐπιμήνια χωρέει ἀσώδεα καὶ ὑδατώδεα [8] καὶ οὐ πάνυ αἱματώδεα, οἰδέει [9] καὶ ἡ ὑστέρη καὶ φλέϐες [10] καὶ ὅσα ἄγχιστα, καὶ οὐ κυΐσκεται, ἔπειτα πνίγεται· [11] καὶ οἱ μαζοὶ ῥέουσι, καὶ ἡ νειαίρα γαστὴρ σκληρή ἐστι καὶ οἰδέει καὶ πᾶς ὁ ἀμφὶ πέριξ χῶρος, καὶ ἀλγέει, εἴ τις ψαύσειε· [12] πυρετός τε καὶ βρυγμὸς ἴσχει, καὶ ὀδύνη σπερχνὴ ἐς τοὺς κενεῶνας καὶ ἐς

[1] Πυκινὸν D. – λειπ. DHJK, Lind. – λυπ. C. – δυσθυμεῖ C. – ἑωλᾶται (sic) DFGHIJ (K, ἐωλ.). – ἐολᾶται θ. – γνώμην sine τῇ C. — [2] καὶ ἐς τὰς ἄνω ὑπὸ τὰ ὑποχ. θ. – Ante ὑποχ. addit ὑπὸ τὰ C. — [3] κατὰ pro καὶ J. – καὶ τὴν κεφ. κ. τ. στ. om. θ. – δοκέῃ G. – ὅταν θ. – νάρκα ἴσχει θ. — [4] τὰ θ. – τὰ om. vulg. – πελιδνὰ θ. – γίνονται Cθ. – δοκέει om. θ. – αὖτις Cθ. – φλυκταινέων θ. – φλυκταινῶν vulg. – φλεκταίνων FGJ, Ald. – φλυκταίνων CDIK, Frob. – φλυκτένων H. – ἀναπίμπλαται J. – λάζυται DFG. – λάζηται H. — [5] καὶ J, Lind. – ἡ om. Cθ. – τριχείη CD. – τραχείη JK. – εἰ et σχοίη om. Cθ. – Post μὴ addunt κύη Cθ, κύει H al. manu. – ἰητρικὴν vulg. – ἰητρίην FG, Ald. – ἰητρείην CDHIJK. — [6] ἐν om. Cθ, Ald. – περισκέλεσι FGI. – κούφοις vulg. – κούφοισιν θ. – ἐμεῖν C. – ἐμμέειν G. – φῦλλα K. – σὺν θ. – θυμῷ C. – μεθίηται vulg. – καθίηται J. – μεθύηται D. – μεθείη θ. – γλυκέα, πλὴν οὖν, ἀλλὰ παῦραι θεραπεύονται vulg. – γλυκέα, ἀλλὰ παῦραι θεραπεύονται Lind. – γλυκέα, παῦραι δὲ ἰητρεύονται C (θ, ὑγιαίνονται). — [7] ἢν δὲ ὕδερος γίνηται Lind. – δὲ om. L. – ἐγγίνεται θ. – ταπιμήνια θ. – ἀσώδη DFGHJK. – ἰσατώδεα θ. – καὶ ὑδατώδεα

dit tout entière; elle a une grande fièvre; le frisson survient; respiration fréquente; défaillances, faiblesse, douleur de tout le corps. Elle est découragée, son esprit se dérange. Le mal va du bas-ventre aux lombes, au dos, aux hypochondres, au sternum, au cou, à la tête, à l'œsophage; et elle paraît mourir. Quand la douleur cesse, de l'engourdissement tient les lombes, les aines et les jambes; des lividités apparaissent aux jarrets, et, pour un peu de temps, elle semble mieux; puis les douleurs recommencent. La surface se remplit de phlyctènes; des rougeurs apparentes et delétères occupent le visage; la gorge est sèche; la langue raboteuse. Cette maladie, atteignant une femme grosse, la tue. Si la femme n'est pas enceinte, il faut ainsi traiter : faire boire le lait d'ânesse en quantité purgative; si ce moyen n'amène pas la solution, rafraîchir le ventre par des applications émollientes et froides; user de pessaires qui ne soient pas siccatifs; mondifier peu à peu et légèrement, et faire vomir. Il est bon de prendre des feuilles de sureau bouillies avec de l'origan, ou du thym, ou de la rue. Si la fièvre s'en va, donner du vin et des aliments doux. Peu guérissent.

175. (*Hydromètre.*) Une hydropisie se forme dans la matrice. Les règles coulent avec des nausées, elles sont aqueuses et n'ont pas beaucoup de sang. La matrice enfle, ainsi que les veines et les parties les plus voisines. La femme ne devient pas enceinte. Elle a des suffocations. Les mamelles laissent couler. Le bas-ventre est dur. Toute la région abdominale se gonfle, elle est douloureuse au toucher. Fièvre, grincement de dents; douleur intense aux flancs, aux lombes. La femme a des pollutions, et elle s'en trouve plus mal. En ce cas, laver avec l'eau chaude, échauffer; administrer un évacuant; administrer

om. θ. — [8] καὶ om. C. - οἰδέη D. — [9] καὶ om. Cθ. - οἱ pro ἡ Ald. - φλείδει (sic) θ. — [10] καὶ om. θ. - καὶ ὅσα om. C. - καὶ οὐ κυ. om. K. - οὐ θ. - οὐ om. vulg. — [11] καὶ CDGHIJKLθ, Lind. - καὶ om. vulg. - νιαιρὰ θ. - νειαιρὴ Lind. - νειέρη KL. - νείαιρα DJ. - νείερα FGHI, Ald., Frob. - οἰδεῖ C. - ἀμφιπέριξ K. - ἤν (εἴ C; ἤ θ) τις (τι D) αὐτὴν (αὐτῆς DFGIJK; αὐτὴν om. Cθ) ψ. vulg. — [12] καὶ πυρ. κ. βρ. Cθ. - ἐξονιροῖ Cθ. - κάκειον θ.

τὰς ἰξύας, καὶ ἐξονειροῖ, καὶ κάκιον ἴσχει. [1] Ταύτην λούειν δεῖ θερμῷ καὶ χλιαίνειν, φάρμακον δὲ πιπίσκειν, καὶ πυριῆν βληχρῆσι πυρίῃσι· καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω ἀποδήσασα, καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι, καὶ κανθαρίδας τρίβουσα [2] προστιθέναι ὀλίγον χρόνον, καὶ διὰ πλείονος ἐνεργεῖ. [3] Προσθετὸν, κύμινον ὅσον χήμη, ἀσταφὶς λευκή. [4] Ἄλλο· κνίδης καρπὸς, ἄρου ῥίζα, τουτέων ὃ βούλει ἐπιεικέως προστιθέναι. Ἐπειδὰν δὲ καθήρῃς, καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα, καὶ ξυγκοιμάσθω, καὶ ἢν διενέγκῃ τὸ ἔμβρυον, ἐκκαθαίρεται [5] πᾶσα καὶ ὑγιὴς γίνεται.

176. [6] Ὑδέρου μητρέων· ὕφαιμόν τι ῥέει ἰχωροειδὲς, καὶ καθαίρεται, καὶ δάκνει σφόδρα καὶ ἑλκοῖ ὥσπερ ἅλμη τὰ αἰδοῖα καὶ τὰ πέριξ, καὶ ὅκου ἂν ἐπιστάξῃ ἑλκοῖ, καὶ ἡ χροιὴ ἰκτερώδης· τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, [7] ὥσπερ ἐν τοῖσιν ἄλλοισι ῥόοισιν. Ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης γίνεται, ἢν ἐξελκωθῶσιν αἱ μῆτραι. Ταύτην θεραπεύειν ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην, καὶ γάλα ὄνειον πιπίσκειν, καὶ ἰσχναίνειν, καὶ ἰῆσθαι φαρμάκοισι τοῖσι προειρημένοισιν. [8] Ὑδέρου ἐκλεικτά· ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον, χηνὸς ἄλειφα, λείχειν.

177. Ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, [9] φῦσα ἔξεισι καὶ τρύζει, καὶ οἰδέει πᾶσα, καὶ πῦρ ἔχει καὶ κάματος πρὸς τοῖσδεσσι· [10] καὶ ἀΐσσει σφόδρα ὑπὸ τῆς ὀδύνης, καὶ τὸν ἄνδρα οὐ προσίεται, [11] καὶ σφό-

[1] Τ. om. Cθ. – δὴ (δεῖ DIJKL, Lind.; δὲ Cθ) θερμῷ vulg. – πυριῆν βληχροῖσι (βληχρῆσι CFGI, Ald., Frob.) καὶ vulg. – πυριᾶν βληχρῆσι πυρίῃσι, καὶ θ. – τριόβολον CI. – ἀποδήσασα.... προστιθέναι om. J. — [2] ἐντιθέσθω θ. – προστιθέσθω CDHIKLQ', Lind. — [3] ἄλλο εἰς ὕδερον pro προσθετὸν.... χήμη D. – προσθετὸν ἄλλο ἐς ὕδερον· κύμινον, ἀσταφὶς λευκὴ, κνίδης καρπὸς Lind. – In Cod. L est vacuum quoddam spatium, et sequitur σὸν χύμην ἀσταφὶς λευκὴ κνίδης καρπὸς κτλ. Foes in not. – ὅσον χήμην (χύμην G) κύμινον (κύμ. om. FGHIK) vulg. – κύμινον ὅσον χήμη σταφιολευκῇ θ. — [4] ἄλλο ὁμοίως FHIJ. – ἄλλο om. DG. – τούτων θ. – ὃ om. θ. – Erot. p. 160: ἐπιεικῶς, ἱκανῶς. – ἐπειδὰν (addit δὲ θ) ἐκκαθάρῃς (καθήρῃς θ), κλυζέσθω (κλ. om. C; κλύζειν θ) καὶ vulg. – ξυγκ. (ξυγκοιμᾶσθαι D; συγκοιμᾶσθαι θ) ἅμα (ἅμα om. θ), καὶ vulg. — [5] πᾶσα.... καθαίρεται om. C. — [6] ἄλλο ὅμοιως (ἄλ. om. FHIJKLθ) (ὁμοίως om. D) ὑδέρου (ἄλλος ὅμοιος ὕδερος Foes in not., Lind.) vulg. – τι om. θ. – ἕλκοι (bis) Jθ. – ἑλκέοι (bis) C. – ὡς C. – ὅπου θ. – ἐπιστάζῃ C. – ἰκτεροσειδὴς θ. – ἰκτεροειδὴς CDFHIJK, Lind. – ἰκτερωειδὴς L. – δ' θ. — [7] ὡς Cθ. – ῥόοις θ. – βληχροτέρα DHJK. – ἢν.... μῆτραι om., restit. al. manu D. – ἐξελκεωθῶσιν C. – ἐξελκωθέωσιν Lind. – ἐξέλθωσιν vulg. – ἐξελκωθῶσιν θ. – Dans vulg. le point est avant ἢν, et il n'y a qu'une virgule

des fumigations douces; appliquer en pessaire trois oboles de cyclamen lié dans un linge; faire de l'eau de cyprès, piler des cantharides, et appliquer en pessaire pendant peu de temps; l'action en est plus durable. Pessaire : cumin une chème (= 0,[litre] 009), raisin sec blanc. Autre : graine d'ortie, racine d'arum, appliquer celle de ces deux substances qu'on voudra, en quantité suffisante. Après la mondification, la femme ôtera les pessaires, fera des injections dans les parties génitales, et dormira avec son mari. Si elle porte à terme l'enfant, elle se mondifie complètement et guérit.

176. (*Autre hydromètre.*) Pour l'hydropisie de la matrice : il s'écoule une humeur un peu sanguinolente et ichoreuse; ce flux irrite fortement et ulcère, comme la saumure ferait, les parties génitales, les parties environnantes, et tous les points sur lesquels il goutte. La coloration devient ictérique. Du reste, la quantité du flux est comme dans les autres écoulements. La maladie est plus lente, et, du reste, fort dangereuse si la matrice s'ulcère. En ce cas, traiter comme dans celui de l'écoulement blanc (§ 116), faire boire du lait d'ânesse, atténuer, et employer les médicaments indiqués précédemment. Éclegme pour l'hydropisie : si de l'eau s'écoule de la matrice, prendre en éclegme du soufre et de la graisse d'oie.

177. (*Vent développé dans la matrice.*) Si du vent est dans la matrice, le gaz sort avec bruit; la femme enfle tout entière; la fièvre et la lassitude s'y ajoutent; la douleur la fait tressaillir; elle

après μῆτραι. C'est le contraire qu'il faut : une virgule avant ἦν, et, après μῆτραι, un point. – λευκοῦ post ἐχομ. K. – ἰᾶσθαι θ. – τοῖς εἰρημένοισιν θ. — [8] ὑδ. ἐ. om. L. – ἐκλικτὰ vulg. – ἐκλεικτὰ Lind. – ἐλικτὰ CFGI, Ald. – ἐκλητὸν D. – ἑλικτὰ HK. – ἐλικτικὰ J. – ἐλκτικὰ Vatic. Codd. ap. Foes. – ἐλλεικτὸν θ. – ἄλειφαρ D. – ἄλιφα λειχθῇ θ. — [9] φυσᾶν θ. – φύσσα J. – ἕξει C. – τρίζει C. – πᾶσα καὶ οἰδέει J. – πουλὺ pro πᾶσα Vatic. Codd. ap. Foes. – καῦμα (κάματος Cθ) vulg. – τοῖσδε vulg. – τοισδεσσιν (sic) θ. — [10] καὶ J. – καὶ om. vulg. – ἀΐσσει om. θ. – σφόδρα om. Cθ. — [11] καὶ om. Cθ. – ἄχθ. σφ. C. – ἀχθέεται (sic) σφοδροτάτην εὐνὴν θ. – ἀδυνατεῖ (ἀδυνατέει θ) ὀρθ. Cθ. – ἀδυνατεῖ vulg. – κέαται (ἔγκειται θ) ἐν vulg. – ἡ om. C. – βοᾶται καὶ C. – πάντα.... πνίγεται om. K. – ἐπείσιον θ. – ἐπ' ἰσχίον G. – ἐπίσχιον DHI, Vatic. Codd. ap. Foes. – ἐπίσχυον C. – ἐπισχίον Ald. – ἐπίσιον J.

ὅρα ἄχθεται τὴν εὐνὴν, καὶ ὀρθοῦσθαι ἀδυνατέει, καὶ ὡς βαρέα μιν ἔγκειται ἐν τῇσι μήτρῃσι, καὶ κεφαλὴν ἀλγέει, καὶ ἀλύει, καὶ ἄναυδός ἐστιν· ἢν δὲ ἡ ὀδύνη προστῇ, βοᾷ τε καὶ ἀλγέει πάντα καὶ ἰξύας καὶ ἐπίσειον καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον [1]ἴσχεται καὶ ἡ κοιλίη, [2]καὶ πνίγεται, καὶ θανεῖν ἐρᾶται, [3]καὶ ὑποχόνδριον τιταίνεται, καὶ στόμαχος δάκνεται, καὶ στόμα πικρὸν, καὶ ἐμέει ὀξέα καὶ ἄκρητα, καὶ ἐρεύγεται θαμινὰ, καὶ ῥαΐζει· ἢν δὲ μὴ, ἀνοιδίσκεται, καὶ ἢν ἐπαφήσῃ, ἀντιτυπέει καὶ ἀλγέει. Κλύζειν [4]οὖν χρὴ τὴν μήτρην μελικρήτῳ καὶ ὀξυμέλιτι καὶ ἐλαίῳ· κύμινον τριπτὸν, ἢ ἄννησον, καὶ λίνου πέταλα τρίβειν, καὶ ὄρνιθος πάτον ξὺν ὠοῖς, καὶ ἐν ὕδατι ἐνιέναι· προσθέτοισι δὲ οἷς ἂν ἐγὼ γράψω, καὶ [5]ποτήμασι χρεέσθω· καθίννυσθαι δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν, σχοίνου ἄνθος, [6]ἢ ἐν ὕδατι δάφνης ἢ θαλάσσης· ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην· ἢ βάλανον προστιθέναι, ὡς νηπίῳ κοιλίη λύεται, εἴριον ἄπλυτον ξὺν μέλιτι· [7]ἢν δὲ γεραιτέρη ᾖ, κρόμμυον ἐμβάπτειν ἐς ἔλαιον, ἢ ἐς μέλι, καὶ προστιθέναι· ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι, ἢ ῥοιῆς ὀξείης χοίνικα ξὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ.

178. [8]Εἰ δὲ μύλη ἐμφύεται ὑπὸ πάχεος γονῆς ἐνεχομένης, θύμβραν λειήνας ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔνυγρον, ἢ [9]ὑοσκυάμου τὸν καρπὸν λεῖον, καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει· ἢν [10]δέῃ, ξὺν ὕδατι· κράτιστον δὲ μελίκρητον ἐνιέναι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. Ἢν δὲ καθαρθῇ οἷα τὰ [11]πυριφλεγέθεα, μυρσί-

[1] Ἴσχεται Cθ. – εἴργεται vulg. — [2] καὶ DGHIJθ. – καὶ om. vulg. – αιραται (sic) θ. — [3] καὶ om. C. – δάκν. μέγα Cθ. – καὶ τὸ (τὸ om. Cθ) στ. vulg. – ἐμ. χολὴν ὀξεῖα (sic) καὶ C. – ἐμ. χολὴν ὀξέα Vatic. Codd. ap. Foes. – ἐμ. χολώδεα ὀξέα ἄκρητα θ. – ὀρεύεται (sic) pro ἐρ. C. – ἢν δὲ μὴ, ἀν. om. L. – ἀνοιδίσκηται DFHIJK. – καὶ (καὶ om. Cθ) ἀντιτ. (ἀντιτυπεῖ C; ἀντιτυπέῃ DFGHIJ) vulg. – αλγέῃ DFGHIJ. — [4] οὖν om. DFGHIJθ. – μήτραν vulg. – μήτρην CDFHIJKθ. – ἐλέῳ K. – κύμινόν τε (τε om. Cθ) vulg. – τρυπτὸν D. – ἄννησσον θ. – ἄνισον CDHJ. – ἄννησον K. – ἀπόπατον vulg. – πότον F. – πάτον C (D, al. manu ἀπόπατον) GHIJKθ. – πάτων Ald. – σὺν θ. – ἐν om. Jθ. — [5] ποιήμασι θ. – χρῶ θ. – χρέο CDFGHIJK. – καθίννυσθαι Jθ, Ald., Lind. – καθιννῦσθαι C. – καθίνυσθαι DFGHK. – καθίγνυσθαι vulg. – σχίνου DHJK. — [6] ἢν pro ἢ CGHJK, Ald. – κλυσμοῖς θ. – ἠπίως pro νηπίῳ DQ', Lind. – λύηται D, Lind. – ἀπαυτὸν (sic) pro ἀπλ. θ. – σὺν θ. — [7] ἢν.... μέλιτι om. C (DH, restit. al. manu) FGIJK. – εἰ DQ', Lind. – γεραιτέρη Hθ. – γεραίτερον vulg. – εἴη DQ', Lind. – κρόμυον Ald., Frob. – ἐμβάπτειν θ. – ἐμβ. om. vulg. – ἢ νίτρον om. θ. – συμμέλιτι θ. – πυρῆνα pro χοίν Cornar., Foes in not., Lind. – καὶ om., restit.

Coray, ib.) ἄλλοτε (ἀλλὰ τὸ C, Coray, ib.) μὲν αὐξ. (αὐξάνηται J) vulg. – ὦσιν pro εἰσὶν J. — [14] χρὴ σικύην (ἐψῆσαι σικ. pro σικ. Codd. ap. Foes; σικυῆσαι DFHIK, Ald.; κυῆσαι C; σικύας J) ἐμποιῆσαι (ποιῆσαι CDFHJK, Ald.) ἐς (ἐς om. C) τὴν μήτρην· δεῖ οὖν (γοῦν J) ἀποποιῆσαι (ἀποπιῆσαι H) καὶ φυσῆσαι (δεῖ οὖν ἀπ. καὶ φυσῆσαι om. C) ὡς vulg. – Dans ce texte très-altéré, il n'y a d'autre parti à prendre que de suivre celui du passage parallèle des Femmes stériles. — [15] τ. om. C. – τοῖσι δὲ FH, Ald. – ἐντεριόνην H. – διανοῆσαι C. – ἑφθῷ om. DFHIJKP'. – ἑψῆσαι pro μῖξαι C. – ὄντι om. C.

κόψαντα διασῆσαι· ἔπειτα ἐν μέλιτι ἑφθῷ μῖξαι ὀλίγην πλείονι ὄντι τῷ μέλιτι καὶ σιλφίου ὀλίγον· τὸ δὲ μέλι [1]κάθεφθον ἔστω· τοῦτο περιπλάσαι περὶ μήλην, τὸ πάχος ποιέοντα ὁκόσον παραδέξεται ὁ στόμαχος· προστιθέναι[2] δὲ πρὸς τὸ στόμα τῆς μήτρης καὶ ὦσαι ὅκως ἂν περήσῃ ἐς τὸ εἴσω τῆς μήτρης· ὅταν [3]δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην. Καὶ τὸ ἐλατήριον ὧδε ποιέων προστιθέναι, καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ὡσαύτως. Καὶ ἐσθιέτω τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα καὶ καυλὸν σιλφίου καὶ ὅτι φῦσαν ἐμποιέει ἐν τῇ κοιλίῃ. Προστιθέσθω δὲ [4]τὸ πρόσθετον διὰ τρίτης ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, καὶ πλῆθος [5]ὁκόσον προσίεται· τὰς δὲ μεταξὺ μαλθακτηρίοισι χρῆσθαι. Ἐπειδὰν δὲ καταστῇ τοῖσι [6]μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, μετὰ τὸ ἐπιφανῆναι ἐπιμείνασαν, ὁκόταν ἤδη ξηρὴ ᾖ, μίγνυσθαι.

28. [7]Ἥ τινι ἂν ἡ μήτρη ἔμπυος γένηται ἢ μετὰ τόκον ἢ ἐκ διαφθορῆς ἢ ἄλλως πως, καὶ μὴ [8]ἐν τεύχει ἑτέρῳ καὶ χιτῶνι τὸ πῦον ὥσπερ ἐπὶ φύματος ᾖ, [9]ξυμφέρει ταύτῃ μήλην ὑπαλειπτρίδα καθιέναι ἐς τὸ στόμα τῆς μήτρης· ἧσσον γὰρ δεήσεται κλύσιος, εἰ χωρήσειε πρὸς τὴν μήλην· ἔπειτα κάμπας τὰς ἀπὸ [10]τῆς τιθυμαλίδος ξυλλέξας, αἳ δὴ κέντρα ἔχουσιν, [11]αὐτὰς ἀποτάμνειν ἡσυχῇ, ὅκως ἂν ἡ φορβὴ μὴ ἐκρυῇ· ἔπειτα ξηραίνειν αὐτὰς ἐν ἡλίῳ καὶ τρίβειν· καὶ τοὺς σκώληκας δὲ τοὺς κοπρίνους ὡσαύτως ξηραίνειν ἐν τῷ ἡλίῳ, ἔπειτα [12]τρίβειν· καὶ τῆς μὲν κάμπης δύο ὀβολοὺς σταθμῷ αἰγιναίους, τῶν δὲ σκωλήκων διπλάσιον, καὶ ἀννήσου ὀλίγον παραμῖξαι, ἢ τῶν

[1] Κάτεφθον C. – περὶ τὴν μήλην C. – παραδέχεται vulg. – παραδέξεται C. — [2] δὲ καὶ πρὸς vulg. – Ce καὶ est nuisible au sens, et je l'ai supprimé. – ἣν pro ἂν C. – εἰς C. — [3] δ' C. — [4] τὸ.... τρίτης om. C. – τρίτης τῆς ἡμέρης vulg. – Je supprime τῆς; voy. le passage parallèle. – ἢν pro ἂν C. — [5] ὅκως ἢν pro ὁκόσον C. – Post ὁκ. addunt ἂν Codd. ap. Foes. – προσίηται vulg. – προσίεται H. – κεχρῆσθαι C. — [6] Post μ. addit χρῆσθαι C. – ἐπιμείνασα Mack. – ἐπιμήνια pro ἐπιμείνασα Cornar., Lind. – ὁκόταν δὲ ξηρὴν (ξηρὴ HK; ξηρὴ ᾖ C, Foes in not., Lind., Mack) μίγνυσθαι vulg. – Lisez ἤδη au lieu de δέ. — [7] ἢν (ἥ C; ᾗ Codd. ap. Foes) τινι ἂν (ἢν C) ἡ vulg. – μετὰ τὸν τόκον CFHK. – πῶς C. — [8] ἐντεύχει (ἐντεῦθεν C; ἐν τεύχει Ald., Frob., Lind., Mack) ἑτέρως (ἑτέρῳ C, Cornar.) vulg. – ὥσπερ ἐ. φ. ᾖ om. J. — [9] σ. C. – ταύτην vulg. – ταύτῃ Mack. – μύλην (bis) H. – ὑπαλλιπτρίδα, Ald. – ὑπαλιπτρίδα C. – ὑπαλληπτρίδα F. – δεήσηται vulg. – δοκέει C. – δοκέῃ F, Vatic. ap. Foes, Ald. – δοκέοι DHIJK. – δεήσεται P', Mack. – καύσιος vulg. – καύσηος C. – καῦσις, al. manu καύσιος D. – κλύσιος Codd. ap. Foes. — [10] τῆς om. K. –

piler, tamiser; en mêler un peu avec beaucoup de miel et un peu de silphion; le miel sera très-cuit; on arrange une part de ce mélange autour d'une sonde, ayant soin que la grosseur soit telle que l'orifice utérin l'admette; on la porte à l'orifice utérin, et on pousse, de manière qu'elle pénètre dans l'intérieur de la matrice. Quand le médicament s'est fondu, on retire la sonde. On applique de la même façon l'élatérion et le concombre sauvage. Pendant ce temps, la femme mangera tant qu'elle pourra de l'ail, de la tige de silphion et de tout ce qui produit du vent dans le ventre. Le pessaire sera appliqué tous les trois jours, jusqu'à ce que les choses paraissent en bon état, et à la dose qui sera supportée. Dans les jours intermédiaires, elle emploiera les émollients. Quand l'orifice utérin est remis à l'aide des émollients, la femme attend après que les règles ont paru, et va auprès de son mari quand elle est tout à fait sèche.

28. (*Suppuration dans l'intérieur de la matrice; introduction d'une sonde; potion singulière. Comp.* des Femmes stériles, § 222, *et* des Maladies des Femmes, § 2.) Quand la matrice suppure après un accouchement ou un avortement, ou de toute autre façon, le pus n'étant pas dans une poche spéciale ou une tunique comme cela est dans un abcès, il convient d'enfoncer dans l'orifice utérin une sonde introductrice; car les injections seront moins nécessaires si le pus s'écoule à l'aide de la sonde. Puis recueillir les chenilles du tithymalle, lesquelles ont un aiguillon, l'exciser doucement de manière que la matière alimentaire ne s'écoule pas; les faire sécher au soleil et les broyer; de même prendre des vers de fumier, les sécher au soleil et les piler; il y aura : de chenilles deux oboles d'Égine, de vers le double; on mêlera un peu d'anis

συλλ. C. – ὥσπερ (ἅνπερ J; ὅσαι pro ὥσπερ Codd. ap. Foes, Vatic. Codd. ap. Foes) δὲ (δὴ J) κέντρα vulg. – Je lis αἳ au lieu de ὥσπερ. — [11] αὐτὰ Foes in not., Mack. – ἔπειτα δὲ ταύτας pro αὐτὰς C. – ὅπως C. – καὶ τρίβειν om. C. – κοπρίωνας vulg. – κοπρίνους C. — [12] λειοτριβέειν (sic) C, Codd. ap. Foes. – σταθμοὺς J. – σκολίκων (sic) C. – ἀνίσου CDHJ, Mack.

τοιουτοτρόπων τινός· κακῶδες γὰρ γίνεται· [1]ταῦτα δὲ τρίψας λεῖα, δίες οἴνῳ λευκῷ εὐώδει· καὶ ἐπὴν πίῃ, βάρος ἐπιγίνεται καὶ νάρκη ἐμπίπτει ἐν τῇ γαστρί· ἢν [2]οὖν ἐπιγένηται, μελίκρητον ἐπιπινέτω ὀλίγον.

29. [3]Κυήσιος δὲ καὶ παιδοποιΐης ἥτις δεῖται καὶ ἄτεκνος ἐοῦσα καὶ ἤδη κυήσασα, [4]ἐοῦσα δὲ τεκνοῦσα, ὅταν ὁ στόμαχος σκληρὸς ᾖ, ἄκρος ἢ ὅλος, ἢ [5]ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν [6]κεκύφῃ ἢ ἀνεσπάκῃ ἑωυτὸν, [7]ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ' ἑωυτὸ, ὁκόθεν οὖν ἢ τρηχὺς καὶ πεπωρωμένος ᾖ, σκληρὸς δὲ γίνεται καὶ ἀπὸ [8]συμμύσιος καὶ ἀπὸ πωρώσιος, ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ [9]ἐλάσσονα τοῦ δέοντος, καὶ διὰ [10]πλέονος χρόνου ἐπιφαίνεται. Ἔστι δὲ ἐν ᾗσι τὰ ἐπιμήνια κατὰ ὑγιείην τοῦ σώματος καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται· καὶ κατά γε τὸ [11]ξύμφυτον καὶ δίκαιον, καὶ ὑπὸ θερμότητος καὶ ὑγρότητος τῶν [12]ἐπιμηνίων τοῦ στομάχου μὴ κάρτα βεβλαμμένου· τὴν δὲ γονὴν διὰ τοῦτο οὐ δέχεται κατὰ τὴν βλάβην, [13]ἥτις ἂν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. [14]Ταύτῃ χρὴ, πυριήσαντα τὸ σῶμα ὅλον, δοῦναι πιεῖν φάρμακον, καὶ καθαρὴν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω δέηται, ἤν τε [15]ἄνω μοῦνον· καὶ ἢν μὲν ἄνω διδῷς τὸ φάρμακον, μὴ πυριῇν πρότερον τῆς καθάρσιος· [16]πυριήσας δὲ μεταπῖσαι

[1] Τοῦτο D. - δὲ λεῖα τρίψας C. - διεὶς (δίες ἐν C) οἴνῳ vulg. - ἐπιγίγν. C. — [2] οὖν om. FJ. - ἐπιγίνηται C. — [3] κυήσηος δὲ καὶ παιδοποιήσηος C. - τις pro ἥτις C. - ἀτέκνουσα pro ἄτεκνος ἐοῦσα L. — [4] οὖσα D. - ἀτεκνοῦσα DQ'. - τέκνουσα vulg. - τεκνοῦσα Mack. - τεκοῦσα C. - ἢ (ἢ om. DFHIJKP') ὅταν vulg. - ξηρὸς ἢ (ᾖ pro ἢ CFH) ἀκρόπαθος (ἀκρόπλοος C, Codd. ap. Foes) vulg. - Lisez σκληρὸς ᾖ, ἄκρος ἢ ὅλος, comme dans le passage parallèle des Femmes stériles, § 217. Ἀκρόπλοος de C contient, en parties, les éléments de la bonne leçon. — [5] σ. C. - ὀρθῶς vulg. - ὀρθὸς CFH, Lind. — [6] κεκρύφῃ (κεκύφῃ L; κεκύφει C) ἢ ἀν. (ἀνεσπάκει C) vulg. — [7] ἢ τ. χ. ἐ. τ. σ. om. J. - ἐπιβάλλει vulg. - ἐπιβάλλῃ K, Mack. - τοῦ στομάχου, ὁκόθεν οὖν ἐφ' (ἐπ' CFH, Ald.) ἑωυτὸν (ἑωυτὸ Mack) ἢ τρηχὺς vulg. - Lisez, comme on lit dans le passage parallèle des Femmes stériles, § 217, et comme le conseille Foes : ἐφ' ἑωυτὸ, ὁκόθεν οὖν ἢ τρηχύς. — [8] συμμίξιος D. - συμμύξιος H. - συμμύσηος C. - πωρώσηος C. — [9] Post ἐλ. addunt ἢ (καὶ C) πλέονα CDFGHIJKP' (Q', πλειόνως). — [10] πλείονος C. - φαίνεται J. - δ' C. - ἐπιμ. καὶ κατὰ vulg. - Je supprime ce καὶ d'après le passage parallèle, § 217. - ὑγείην vulg. - ὑγιείην C. - μητρέων om. C. - εὑρίσκεσθαι DFGHIJK. — [11] σ. C. — [12] ἐπιμ. καὶ τοῦ vulg. - Je supprime ce καὶ nuisible au sens et introduit à tort par les copistes à cause du voisinage des autres καί. — [13] ἦν (ἢν H; ἡ

ou quelque chose de semblable, car cette préparation prend une mauvaise odeur. On pile bien, et on délaye avec du vin blanc de bonne odeur. Quand la femme a bu, elle éprouve de la pesanteur et de l'engourdissement dans le ventre. Si cela arrive, elle boira un peu d'hydromel par-dessus.

29. (*Traitements pour rendre féconde une femme qui ne conçoit pas. Ils sont réglés d'après les causes de la stérilité. On y remarquera celui qui consiste à redresser le col dévié; des succès sont, en effet, obtenus par ce moyen.* Des Femmes stériles, § 217.) Pour une femme qui désire devenir enceinte et avoir des enfants, soit n'ayant pas conçu, soit ayant conçu, mais étant en état de concevoir : quand l'orifice utérin est dur, en totalité ou à son extrémité, qu'il est fermé, qu'il n'est pas droit, mais dévié vers l'une ou l'autre hanche, qu'il se recourbe vers l'anus ou se rétracte, ou qu'une des lèvres empiète sur l'autre, de quelque façon qu'il soit raboteux ou plein de callosités (il durcit, en effet, et par la contraction qui le ferme et par les callosités qui s'y forment); dans ces cas, les règles ne viennent pas ou viennent en moindre quantité qu'il ne faut et à de plus longs intervalles. Il en est chez qui les règles trouvent leur chemin au dehors en raison de la santé du corps et de la matrice, conformément du moins à la condition originaire et régulière, et parce que la chaleur et l'humidité des règles n'ont pas lésé notablement le col. Mais le sperme n'est pas reçu à cause de la lésion qui, altérant le bon état du col, le met hors d'état de recevoir. En ce cas, après avoir donné une fumigation de tout le corps, il faut faire boire un évacuant et provoquer d'abord des évacuations générales, soit par haut et bas à la fois, soit par haut seulement. Si vous évacuez par le haut, vous n'administrerez pas

Cornar., Lind., Mack) τις ἦν (ἂν GHIJK, Lind., Mack) κοιλ. vulg. — [14] ταύτην vulg. - ταύτῃ C. - πιεῖν δοῦναι C. - Ante πρῶτον addunt ταύτην DHIP'Q'. — [15] κάτω J. - καὶ ἦν τε (μὲν pro τε C) ἅ. διδοῖς vulg. - Lisez διδῷς. - πυριῇν (addunt πρότερον C, Codd. ap. Foes, Mack; πρὸ Lind.) τῆς vulg. — [16] πυριήσεις δὲ μεταπίσας κάτω vulg. - πυριήσας δὲ μεταπεῖσαι (sic) κάτω C. δοκέει Lind.

κάτω· ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας, κάτω [1]πῖσαι. Ὅταν δὲ δοκέῃ καλῶς ἔχειν καθάρσιος τὸ σῶμα, [2]μετὰ τοῦτο πυριῆν τὰς μήτρας, ἐγκαθίζοντα αὐτὰς πυκνὰ ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν· ἐπιβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου ῥινήματα [3]καὶ δάφνης φύλλα κόψας· καὶ λούειν πολλῷ καὶ θερμῷ. [4]Ὅταν δὲ νεόλουτος ᾖ καὶ νεοπυρίητος, ἀνευρύνειν τὸ στόμα τῆς μήτρης τῇ μήλῃ τῇ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὅπῃ ἂν δέηται, ἢ μολιβδίνῃ, ἀρξάμενος ἐκ λεπτῆς, εἶτα παχυτέρῃ, ἢν παραδέχηται, [5]ἕως ἂν δοκέῃ καλῶς ἔχειν· βάπτειν δὲ τὰς μήλας ἐν ἑνὶ τῶν μαλθακτηρίων διειμένῳ [6]ὅ τι ἂν δοκέῃ ξυμφέρειν, ὑγρὸν ποιήσας· τὰς [7]δὲ μήλας ποιέειν ὄπισθεν κοίλας, εἶτα περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι, καὶ οὕτω χρῆσθαι. Τὸν δὲ χρόνον τοῦτον πινέτω, καθεψοῦσα ἐν [8]οἴνῳ εὐώδει λευκῷ καὶ ὡς ἡδίστῳ γλυκεῖ, δαΐδα ὡς πιοτάτην κατασχίσασα λεπτὰ, καὶ σελίνου καρπὸν [9]κόψασα καὶ κυμίνου αἰθιοπικοῦ καρπὸν καὶ λιβανωτὸν ὡς κάλλιστον· τουτέου πινέτω νῆστις [10]ὁκόσον ἂν δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας [11]ἂν δοκέῃ ἅλις ἔχειν· καὶ ἐσθιέτω σκυλάκια ἑφθὰ καὶ πουλύποδα ἐν οἴνῳ ἑφθὸν ἢ γλυκεῖ· καὶ τοῦ ζωμοῦ πινέτω, [12]καὶ κράμβην ἑφθὴν, καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω· [13]καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης· σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. Μετὰ [14] δὲ τοῦτο, ἢν μὲν χωρέῃ κατὰ τὸν στόμαχον καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τε ἔτι τοῦ πόματος ἡμέρην μίην καὶ δύο, καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους, καὶ πειρῆσθαι καθαίρειν τὰς μήτρας προσθέτοισι φαρμάκοισιν. Ἥτινι [15]δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μαλ-

[1] Πεῖσαι C. – καθάρσηος C. — [2] μ. τ. om. DFGHIJK. – πυκνὰ ἂν (ἢν οὕτω pro ἂν Cornar.) δοκέῃ vulg. – Au lieu de ἂν lisez ἐν ὅτῳ ἂν, comme dans le passage parallèle. – ῥυνήματα C. — [3] καὶ om. DFGHIJK. — [4] ἂν pro ὅταν C. – νεόλ. κ. ν. ᾖ C. – ὅποι FI, Ald. – μολιβδαίνῃ vulg. – μολυβδαίνῃ FH. – μολιβδίνῃ CJ. – ἀρξόμενος C. – παχυτέρου DHK. – παχύτερον J. – παχυτέρης vulg. – παχυτέρῃ Foes in not., Mack. – εἰ vulg. – ἢν C. – παραδέχεται DHK. – παραδέχοιτο J. — [5] καὶ κἂν pro ἕως ἂν DFGIJK. – ἐν om. DFGIJKP'. – διειμένα J. — [6] ὅταν δὲ (δὲ om. C) δοκέῃ vulg. – Lisez ὅ τι ἂν, comme dans le passage parallèle des Femmes stériles. — [7] μὲν pro δὲ C. – πέριξ ἥλοισι C. – ξύλοισι.... πινέτω om. K. – οὕτως vulg. – οὕτω C. — [8] οἴνῳ λευκῷ εὐώδει ὅτι ἡδύστῳ C. – δάδα C. – δᾶδα J. – πιωτάτην F, Ald., Frob., Lind., Mack. – κατασχίσασαν C. – ἐς λεπτὰ J. — [9] κόψας DFJK, Ald. – Post κόψασα addit καὶ κόψασα C. — [10] ὁκόσου P'. – ἢν pro ἂν C. – ἂν om. J. — [11] ἢν C. – σκυλάκιδ' (sic) ἑφθὰ C. – πουλ. C. – πολ. vulg. – οἴνῳ ἑφθῷ (ἑφθὸν C, Foes in not., Mack) (addit ἢ C) γλ. vulg. — [12] καὶ.... ἐπιπινέτω om. K.

la fumigation avant l'évacuation, et, à la suite de la fumigation, vous ferez une contre-purgation par le bas. Si au contraire vous croyez ne pas devoir évacuer par le haut, administrez, après une fumigation préalable, un purgatif. Quand le corps paraît bien nettoyé, fomenter fréquemment la matrice en donnant des bains de siége où entreront les ingrédients jugés convenables : par exemple les copeaux de cyprès, les feuilles pilées de laurier; on lave le corps avec beaucoup d'eau chaude. Quand la malade vient de prendre un bain et une fumigation, ouvrir l'orifice utérin et le redresser de la façon que besoin est, avec une sonde d'étain ou de plomb, d'abord petite, puis plus grosse, si elle est reçue, jusqu'à ce que les choses paraissent en bon état; tremper les sondes dans quelque préparation émolliente qui sera jugée convenable et qu'on rendra liquide en la délayant. Les sondes seront creuses en arrière, on les emmanchera dans des bâtonnets longs, et on s'en servira ainsi. Pendant tout ce temps, la femme, faisant cuire des branches de pin très-grasses coupées en petits morceaux dans du vin blanc doux très-agréable, boira cette décoction, ainsi que de la graine d'ache, de cumin d'Éthiopie et de l'encens de première qualité, le tout pilé ensemble, dont elle boira, à jeun, une quantité convenable pendant le nombre de jours qui paraîtra suffisant. Elle mangera de petits chiens bouillis, un poulpe bouilli dans du vin ou du moût, boira de ce bouillon, du chou cuit, boira du vin blanc pardessus, ne se laissera pas avoir soif, et se baignera deux fois par jour à l'eau chaude. Elle s'abstiendra d'aliments pendant tout ce temps. Ensuite, s'il se fait quelque progrès du côté du col et que quelque purgation se montre au dehors, la malade prendra de sa boisson pendant un jour ou deux encore; on cessera l'usage des sondes, et on essayera de purger la

— [13] καὶ om. C. — [14] δὲ om. C. - τοῦτον vulg. - Lisez τοῦτο. - χωρέει Ald., Frob. - κατ' αὐτὸν τὸν στ. C. - καὶ μὴ φαίνηταί τι D. - καθάρσηος C. — [15] δὲ om. C. - μεγάλου (μαλθακοῦ C, Codd. ap. Foes) vulg. - ἐόντος om. C. - φαίνηται vulg. - φαίνεται C.

θακοῦ καὶ ὑγιέος ἐόντος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνεται πάμπαν ἢ ἐλάσσονα καὶ διὰ πλείονος χρόνου καὶ μὴ ὑγιεινὰ, τὴν νοῦσον ἀνευρὼν ἥν τινα ἔχουσιν αἱ μῆτραι, ἥν τε καὶ τὸ σῶμα [1]ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον ἀφ' οὗπερ [2]οὐ κυΐσκεται· καὶ ὅτε οὕτως ἔχει, τὴν ἴησιν ποιέεσθαι προσφέρων [3]ἣν δέχεται θεραπηΐην, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, τελευτᾶν δὲ ἐς μαλθακώτερα, [4]ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. Ἢν δὲ ἀπὸ τοῦ ποτοῦ [5]καὶ φαρμάκου μὴ προχωρήσῃ, μηδὲ πινούσης χρόνον [6]τὸν μέτριον, τουτέου μὴ παύεσθαι τοῦ πόματος· ὅταν δὲ καλῶς ἔχῃ τοῦ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸ στόμα τοῦ στομάχου, καὶ [7]ποιῆσαι ὅκως ἀναχανεῖται ἐς ὁδὸν τῷ προσθέτῳ, ἀπὸ θυμιητῶν τε φαρμάκων καὶ μαλθακτηρίων. Ὅταν δὲ δοκέῃ καλῶς ἔχειν [8]μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς φάρμακον, κάθαρσιν ποιέεσθαι τῆς μήτρης ὡς ἂν δοκέῃ καλῶς ἔχειν, ἀρχόμενος ἐκ μαλθακῶν ἐπὶ [9]ἰσχυρότερα, τελευτῶν δὲ αὖθις ἐς μαλθακὰ εὐώδεα· τῶν γὰρ ἰσχυρῶν φαρμάκων [10]τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον καὶ δάκνει· ἔπειτα τόν τε στόμαχον καθιστᾶν [11]ἐς ὀρθὸν καὶ ὑγιέα καὶ καλῶς ἔχοντα πρὸς τὴν δέξιν τῆς γονῆς, καὶ τὴν μήτρην ξηρὴν ποιέειν καὶ φῦσαν ἐμποιέειν. Ἢν γυνὴ δοκέῃ ὑπὸ πιμελῆς τὰς μήτρας βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν.

30. Ὥρη [12]δὲ ἐαρινὴ ἀρίστη κυήσιος· ὁ δὲ ἀνὴρ μὴ μεθυσκέσθω,

[1] Σ. C. – ξυμβάλητα: H. – μὴ ξυμβάλληται D. – ἀφότευ C. — [2] οὐ om. J. – καὶ ταῦτα οὕτως ἔχῃ (ἔχει C) vulg. – En place de ταῦτα, lisez ὅτε, comme dans le passage parallèle des Femmes stériles. — [3] ἣν δέχηται vulg. – Lisez ἣν δέχεται. – θεραπείην vulg. – θεραπηΐην C. – μαλθακώτερον K. — [4] ὡς C. – καθάρσηος C. – ἀθρόως pro ὀρθῶς C. — [5] καὶ τοῦ (τοῦ om. C) φ. C. – προσχωρήσῃ vulg. – Lisez προχωρήσῃ, comme dans le passage parallèle. — [6] τὸ F. – τουτέου δὲ (δὴ Vatic. Codd. ap. Foes, Mack) οὐ (οὐ om. C) π. vulg. – Lisez μὴ au lieu de δὲ ou δὴ, et supprimez οὐ. — [7] ποιέειν C. – ἀναχάνηται vulg. – Lisez ἀναχανεῖται. – τῶν προστεθῶν C. – ἀπό τε θυμιημάτων (ἐμέτων C; θυμιητῶν DFHJK, Ald.) καὶ φαρμ. vulg. – Lisez ἀπὸ θυμιητῶν τε φαρμάκων; voy. le passage parallèle. — [8] μαλθάξηος καὶ θυμιήσηος C – ἀπὸ pro ἐκ C. — [9] ἰσχυρότερον J. – τελευτᾶν C. – εἰς (ἐς C, Mack) μ. καὶ (καὶ om. C) εὐ. vulg. — [10] ἑλκοῖ τὰ πλεῖστα J. — [11] εἰς C. – Pour cette fin, le passage parallèle a de notables différences. – καὶ φ. ἐμπ. om. C, Codd. ap. Foes. –

matrice à l'aide de médicaments appliqués en pessaire. Quand, l'orifice utérin étant droit, souple, sain, en bon état, en situation convenable, les règles ne paraissent pas du tout, ou sont moindres, venant à de plus grands intervalles, de mauvaise qualité, il faut découvrir de quelle maladie la matrice est affectée, et si le corps entier y concourt pour quelque chose, déterminant la cause qui empêche la conception; la chose étant ainsi, on règle le traitement, administrant ce qui est requis par le cas, commençant, selon l'opportunité, par les moyens énergiques, et finissant par les moyens plus doux, jusqu'à ce que la matrice paraisse bien mondifiée et le col remis en bon état et en position suffisante. Si le médicament et le breuvage n'amènent pas quelque progrès, même quand la malade a bu pendant le temps convenable, on ne cesse pas pour cela le breuvage; mais, quand l'œuvre des sondes a bien agi, on assouplit l'orifice du col, et l'on fait de manière qu'il s'entr'ouvre, pour laisser pénétrer le pessaire, à l'aide et des substances aromatiques et des substances émollientes. Quand l'emploi des moyens émollients et aromatiques paraît avoir atteint l'objet, on met en pessaire un médicament, et l'on opère la purgation de la matrice, jusqu'à ce que les choses semblent en bon état, commençant par ce qui est doux et allant à ce qui est plus fort, pour finir de rechef par les émollients aromatiques. En effet la plupart des moyens énergiques ulcèrent le col et l'irritent. Puis on remet le col droit, sain, en bon état pour recevoir le sperme, on dessèche la matrice et on y produit du vent. Si c'est la graisse qui paraît être la lésion empêchant la conception, on atténue la femme autant qu'on peut, et, outre les autres moyens, on la rend maigre.

30. (*Saison la plus favorable pour la conception. Précautions à prendre du côté de l'homme.* Des Femmes stériles, § 218.) La saison la plus efficace pour la conception est le

τοῖς ἄλλοις C. — [12] δ' C. - ἀρίστη μὴ κυεούση κυήσιος Codd. ap. Foes. - μὴ κυεούση δὲ ἀνὴρ pro κ. ὁ δὲ ἀνὴρ C. - μεθυσκέτω L.

[1] μηδὲ οἶνον λευκὸν πινέτω, ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος· καὶ [2] σιτία ὡς ἰσχυρότατα· καὶ μὴ θερμολουτείτω· ἰσχυέτω [3] δὲ καὶ ὑγιαινέτω· καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι.

31. Ὅταν βούληται ἄρσεν φυτεύειν, τῶν ἐπιμηνίων ἀποληγόντων ἢ ἐκλελοιπότων [4] μίγνυσθαι· καὶ ὠθέειν ὡς μάλιστα ἕως ἂν ἐκμιαίνηται· ὅταν δὲ θῆλυ βούληται γενέσθαι, ὅταν πλεῖστα ἐπιμήνια [5] ἔῃ τῇ γυναικὶ, καὶ ἔτι δ' ἐόντων, τὸν δὲ ὄρχιν τὸν δεξιὸν ἀποδῆσαι ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δύνηται· ἐπὴν δὲ ἄρσεν [6] βούληται φυτεύειν, τὸν ἀριστερὸν ἀποδῆσαι.

32. Στόμαχος μήτρης [7] ἀπὸ μὲν θυμιημάτων ξυμμεμυκὼς ἀναχάσκει· ἀπὸ δὲ τῶν μαλθακτηρίων μαλθάσσεται. Θυμιῆν δὲ λωτοῦ [8] φλοιὸν, σπέρμα δάφνης καὶ φύλλα χλωρὰ κεκομμένα, λιβανωτὸν, σμύρναν, ἀρτεμισίης καρπὸν ἢ φύλλα· καὶ [9] ἄννησον κόψας ἢ στέαρ καὶ κηρὸν καὶ θεῖον καὶ κυπαρίσσου σπέρμα, πευκεδάνου ῥίζαν, μυρσίνης φύλλα χλωρὰ κεκομμένα, κάστορος ὄρχιν, ὀνίδας ἄρσενος ὄνου, σκόροδα, στύρακα, ὑὸς στέαρ· [10] κἂν ἀπεστραμμένον ᾖ τὸ στόμα, τουτέοισι θυμιῆν· ἀναχάσκει μὲν οὖν οὕτως καὶ στρέφεται. Μαλθάσσειν [11] δὲ ἀπὸ τουτέων τὸ στόμα τῆς μήτρης· σανδαράκην, στέαρ αἰγὸς, ὀπὸν [12] συκέης, ὀπὸν σιλφίου, κυκλαμίνου χυλὸν, θαψίην, ὀπὸν τιθυμάλλου, [13] καρδάμου καρπὸν, [14] ποίην ἣ καλεῖται πέπλος, κάστορος ὄρχιν, λίνου καρπὸν, [15] λίτρον, ἄρου ῥίζαν, σταφίδα ἀγρίην, καλαμίνθης φύλλα χλωρὰ, στρουθίου [16] καρπὸν, σκίλλης τὸ ἐκ τοῦ μέσου.

33. Φάρμακα μαλθακτήρια, καὶ πρὸς τὸ ἰσχυρὴν κάθαρσιν γενέσθαι ἀνακινῆσαι· θαψίης [17] ῥίζαν, μυελὸν βοὸς, χήνειον στέαρ,

[1] Μηδ' C. – ἀκριτέστατος C. — [2] σιτείσθω L, Mack. — [3] δὲ om. C. — [4] μίσγεσθαι C. – ὡς om. D. – ἐκμαίνηται CDFGHIJK, Ald., Frob., Lind. – Gal. Gl. : ἐκμιαίνεται, ἀποκρίνει τὸ σπέρμα. — [5] εἴη (ἐπὶ pro εἴη C) vulg. – Lisez ἔῃ. – ἔτι δεόντων (διιόντων L) vulg. – ἔτι δὲ ὄντων C, Codd. ap. Foes, Mack. — [6] βούλοιτο J. — [7] ὑπὸ D. – μὲν om. FIJK. – ξυμμεμυκὸς D. — [8] φλοιοῦ C. – καὶ om. C. – φύλλα τῆς αὐτῆς (ἀκτῆς Codd. ap. Foes) (τῆς αὐτῆς om. C) χλωρὰ vulg. – Post χλωρὰ addit μᾶλλον C. – ἀρτεμησίης F. – ἢ φύλλα om. C. — [9] ἄνισον CDHJ, Mack. – πευκεδανοῦ vulg. – πευκεδάνου H. – μυρσίνης κόψας φύλλα χλωρὰ, κάστορος C. – σκόρδα C. — [10] κῆν Mack. – τουτέοις C. – οὐ μίην pro θυμιῆν C. – οὖν om. DGHIJK. — [11] τε pro δὲ C. – τουτέου C. — [12] σικύης vulg. – σικέης HK. – συκέης C. – συκῆς interpretes,

printemps ; l'homme ne sera pas en état d'ivresse ; il aura bu non pas du vin blanc, mais du vin pur très-fort ; il aura mangé des aliments très-substantiels ; il n'aura pas pris de bain chaud ; il sera en bonne force, en bonne santé ; et il se sera abstenu des aliments qui ne sont pas convenables à l'objet.

31. (*Moyen pour engendrer à volonté garçon ou fille.*) Si l'homme veut engendrer un garçon, il a des rapports avec sa femme à la fin des règles ou quand elles viennent de cesser ; il enfonce autant qu'il peut, jusqu'à l'éjaculation ; si une fille, il a des rapports au plus fort des règles ou du moins coulant encore ; il se liera le testicule droit autant qu'il pourra le supporter. Pour un garçon, il se liera le testicule gauche.

32. (*Fumigation pour ouvrir ou redresser l'orifice utérin.*) L'orifice utérin fermé s'ouvre par les fumigations aromatiques, il s'assouplit par les émollients. Fumigation : écorce de lotus, baies de laurier, feuilles de laurier pilées vertes, encens, myrrhe, graine ou feuilles d'armoise, anis broyé, graisse, cire, soufre, baies de cyprès, racine de peucedanum, feuilles de myrte broyées vertes, castoréum, crottin d'âne mâle, ail, styrax, graisse de porc. Si l'orifice est dévié, c'est avec ces ingrédients qu'il faut fumiger ; il s'entr'ouvre sous leur action et se redresse. C'est avec les suivants qu'on assouplira le col utérin : sandaraque, graisse de chèvre, suc de figuier, suc de silphion, jus de cyclamen, thapsie, suc de tithymalle, graine de cardame (*erucaria aleppica*), l'herbe appelée peplos (*euphorbia retusa*), castoréum, graine de lin, nitre, racine d'arum, staphisaigre, feuilles vertes de calaminthe (*melissa altissima*), la graine de saponaire, l'intérieur de la scille.

33. (*Différentes formules de pessaires.*) Médicaments émollients et déterminant une abondante menstruation : racine de thapsie, moelle de bœuf, graisse d'oie, huile de rose, broyer,

Mack. — [13] καρδαμώμου vulg. – καρδάμου C, Codd. ap. Foes, Lind., Mack. — [14] ποίην.... καρπὸν ponit post ῥίζαν D. – Ante λίνου addunt κράδην ὄξος C, Codd. ap. Foes. — [15] νίτρον D. – σταφὶς ἀγρίης C. — [16] καρπὸς CHI. — [17] ῥίζας C. – τρίψας sine καὶ C. – πίνουσα pro καὶ πινέτω K.

ῥόδινον· ταῦτα τρίψασα καὶ ἀναζέσασα προστιθέσθω ἡμέρας τέσσαρας· καὶ πινέτω [1] πράσου χυλὸν, καὶ οἶνον γλυκὺν λευκόν· καὶ ῥητίνην, καὶ ἔλαιον χλιερὸν, καὶ κύμινον, [2] λίτρον, μέλι ἐν ῥυπαρῷ εἰρίῳ χρήσθω ἡμέρας τέσσαρας, πίνουσα σελίνου καρπὸν, καὶ λιβανωτοῦ πυρίνας πέντε, καὶ κύμινον αἰθιοπικὸν ἐν οἴνῳ λευκῷ ἀκρήτῳ γλυκεῖ· καὶ λουέσθω δὶς τῆς ἡμέρης. Σμύρνα, λίβανος, βοὸς [3] χολὴ, ῥητίνη τερεβινθίνη ἢ νέτωπον· τουτέων ἴσον ἑκάστου μίξασα προστιθέσθω ἐν εἰρίῳ καθαρῷ ἢ ῥάκει λεπτῷ· [4] βάψασα δὲ τὸ ῥάκος ἐν μύρῳ λευκῷ αἰγυπτίῳ εὐώδει καὶ ἀποδήσασα λίνῳ, λουσαμένη, προστιθέσθω. Καὶ [5] πώλυπον φλάσασα ἐσθιέτω, καὶ πινέτω σελίνου καρπὸν καὶ ἀσπαράγου, καὶ οἶνον λευκὸν τρὶς τῆς ἡμέρης νῆστις ἐοῦσα. Σμύρνα, [6] κασίη, λιβανωτὸς, κιννάμωμον, νέτωπον· τουτέων ἑκάστου ἴσον ἐν εἰρίῳ ἢ βαλάνους ποιέουσα προστιθέσθω. [7] Ἄλλο· κολοκύνθης ἀγρίης τὸ ἔνδον, κύμινον πεφρυγμένον, ἀνήθου καρπὸν, κυπαρίσσου ῥίζαν, ταῦτα τρίψας λεῖα, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιέων, δίδου προστιθέναι· καὶ πινέτω γλυκυσίδης ῥίζαν, σελίνου καρπὸν, ὀπὸν σιλφίου, οἶνον. [8] Τὸ βόλβιον δὲ καὶ αὐτὸ καθαίρει προστιθέμενον. Καὶ σμύρναν πρώτην, ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ εὐώδει προστίθει. [9] Φάρμακα προσθετὰ εἰς τὸ μήτρην καθῆραι ἐπιτηδειότατα· λαβὼν ἄνθος χαλκοῦ καὶ λίτρου τρίτον μέρος, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιῆσαι, ὁκόσαι [10] ἂν δοκέωσι μέτριαι εἶναι μέγεθος καὶ [11] πάχος, οὕτω προστίθει πρὸς τὸ στόμα τῆς μήτρης· ἢν δὲ βούλῃ ἰσχυρότερον εἶναι, ἐλατήριον παραμῖξαι καὶ τὸ ἄνθος μοῦνον, καὶ [12] οὕτω ποιέων δίδου προστίθεσθαι· καὶ κράδης παραμιγνύναι φλοιὸν [13] ξύων καὶ τρίβων λεῖον, ὅταν τὸ στόμα δοκέῃ ξηρό-

[1] Πρασίου Calvus. – πράσου.... καρπὸν om. K. – χλιαρὸν vulg. – χλιηρὸν H. – χλιερὸν C. — [2] λ. (νίτρον D), ῥητίνην (ῥ. om. C), μέλι vulg. – πυρήνας vulg. – πυρῆνας CH, Lind., Mack. – Gal. Gl. : πυρίνας, τοὺς χόνδρους· εἴρηται δὲ ἐπὶ λιβανωτοῦ. — [3] χολὴν F. — [4] βάψας CGHIJ. – καὶ αἰγυπτίῳ DP'Q'. — [5] πόλυπον H. – τὸ λοιπὸν pro π. C. – φλεύσασα (sic) C. – πιέτω J. — [6] κασσίη CH, Mack. – τὸ (τὸ om. C) ἴσον vulg. — [7] ἄλλο HQ', Mack. – ἄλλο om. vulg. – τὸ ἔνδον addunt interpretes. – τὸ ἔνδον om. vulg. – ἀνίθου HJ. – ῥίζη D. – ῥίζας H. – ποιῆσαι ὁκόσαι ἂν δοκέωσι μέτριαι εἶναι pro ποιέων J. – προστίθεσθαι D. – προστιθέσθω C. – σιλφίου χυλὸν σὺν (ἐν J) οἴνῳ vulg. – ὀπὸν σιλφίου, οἶνον C. — [8] ἀλλὰ (ἀλλὰ om. C) (addunt καὶ DFGHIJKP'; τε Q') τὸ βόλβιον (addit δὲ C) καὶ vulg. — [9] φ.... ἐπιτηδειότατα om. K. – εἰς τὸ om. C. – ἐπιτηδειότατα om. C. – νίτρον D. – φορήσασα C, Ald. — [10] ἢν C.

faire bouillir, et appliquer en pessaire pendant quatre jours; la femme boira de l'eau de poireaux et du vin blanc doux. Résine, huile tiède, cumin, nitre, miel, s'en servir dans une laine grasse pendant quatre jours, buvant une infusion de graine d'ache, de cinq grains d'encens et de cumin d'Éthiopie dans du vin blanc doux pur, et se baignant deux fois par jour. Myrrhe, encens, bile de bœuf, térébenthine ou nétopon, de chaque partie égale, mêler et appliquer dans de la laine propre ou un chiffon fin; le chiffon sera trempé dans du parfum blanc égyptien de bonne qualité et attaché avec un fil; le pessaire sera placé après un bain; la femme mangera un poulpe écrasé, boira une infusion de graine d'ache et d'asperge dans du vin blanc, trois fois par jour, à jeun. Myrrhe, cassia, encens, cinnamome, nétopon, de chaque partie égale, mettre dans de la laine ou faire des glands et appliquer. Autre : concombre sauvage, le dedans, cumin grillé, graine d'aneth, racine de cyprès, bien piler, pétrir avec du miel cuit, faire des glands et donner à mettre en pessaire; la femme boira une infusion de racine de pivoine, de graine d'ache et de suc de silphion dans du vin. Le petit bulbe aussi, mis en pessaire, est emménagogue. Myrrhe de première qualité, un peu de fleur de cuivre, dans du vin blanc de bonne odeur, appliquez. Pessaires les plus convenables pour purger la matrice : fleur de cuivre, nitre un tiers, pétrir dans du miel cuit, faire des glands de la longueur et grosseur qui paraîtront convenables, et appliquer à l'orifice utérin. Si vous voulez que ce soit plus fort, mêlez seulement de l'élatérion et de la fleur de cuivre, préparez ainsi et donnez à mettre en pessaire. Mêlez-y semblablement, si l'orifice utérin paraît trop sec, une demi-portion d'écorce de figuier raclée et bien pilée. Autre : broyer élatérion et fleur de cuivre, deux par-

— [11] πλάτος D, Codd. ap. Foes. - οὕτως vulg. - οὕτω CJ. - βούλει H. — [12] οὕτως vulg. - οὕτω C. - Ante φλοιὸν addunt ἕτερον GJ, Ald.; προσθετὸ C. — [13] ξύλων C. - λεῖον τρίβων C.

τερον εἶναι τῆς μήτρης, τὸ ἥμισυ ὡσαύτως. [1]Ἄλλο· τρίψας ἐλατήριον καὶ ἄνθος χαλκοῦ λεῖα, δύο μοίρας ἄνθους, ἐλατηρίου δὲ μίαν, ταῦτα δίεσθαι· κυκλαμίνου τρίψας, ταύτῃ ἀναμῖξαι, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι· καὶ ποιησαμένην [2]προσθετὰ προστίθεσθαι ἐν εἰρίῳ. [3]Προσθετὸν λευκὰ καθαῖρον· ἀρτεμισίην τὴν ποίην, λίτρον, κυκλάμινον ἡμίξηρον, κύμινον. [4]Ἕτερον, τὰ αὐτὰ καθαίρει· ἀρτεμισίην ποίην χλωρὴν τρίψας [5]καὶ σμύρνης τρίτον μέρος, οἴνου ἀναμίξας εὐώδεος, εἰρίῳ λευκῷ περιελίξας αὐτὸ, ἐν οἴνῳ τε βρέξας, δὸς προστίθεσθαι [6]Ὅταν δὲ χαλῶσιν αἱ μῆτραι, λίτρον, σικύης ἐντεριώνην, κυκλάμινον ἡμίξηρον ἐν εἰρίῳ προστίθει. [7]Προσθετὰ παντοῖα καθαίρειν δυνάμενα· σταφίδα ἀγρίην τρίψας χλωρὴν, περιπλάσας, ἀρτεμισίης ποίης τρίψας τὰ φύλλα, ἐν μέλιτι ἑφθῷ πλάσας, καὶ ξηρήνας ἐν σκιῇ, ἀπὸ τουτέου ποιέει προσθετὰ, καὶ δίδου τῇ γυναικὶ προστίθεσθαι. [8]Ἄλλο· ἄνθος μιγνὺς χαλκοῦ ἢ στυπτηρίην αἰγυπτίην, διεὶς τῇ κυκλαμίνῳ, ὥσπερ τὰ πρότερα ἐν μέλιτι ἑφθῷ πλάσας, [9]ἢ ἐν ἰσχάδι ποιήσας, καὶ σμύρνην ὀλίγην. [10]Ἄλλο· τὴν κυκλάμινον τρίψας, λευκῷ οἴνῳ εὐώδει παραμίξας, ἐν ῥάκει δήσας ὡς [11]λεπτοτάτῳ καθαρῷ, δίδου προστίθεσθαι. [12]Ἄλλο· κυκλάμινον ἡμίξηρον, λίτρον, κανθαρίδας, στέαρ, σανδαράκην.

34. [13]Περὶ παρθένου· παρθένῳ ὁκόταν, τὰ ὡραῖα μὴ γένηται, χολᾷ καὶ πυρεταίνει καὶ ὀδυνᾶται, [14]διψῇ καὶ πεινῇ, καὶ ἐξεμεῖ, καὶ μαίνεται καὶ πάλιν σωφρονέει, κινέονται αἱ μῆτραι, καὶ ὁκόταν [15]μὲν πρὸς τὰ σπλάγχνα τράπωνται, ἐξεμεῖν καὶ πυρέσσειν καὶ πα-

[1] Ἕτερον HIJK. – προσθετὸν ἕτερον C. – λεῖον C. – ἐλατήριον J. – δὲ om. CDH. – διέσθαι FH, Mack. – ἢν pro ἂν C. — [2] προσθέντα C. — [3] προσθετὰ λευκὰ (ἄλλο pro πρ. λ. DP′; πρ. λ. in marg. IK) καθαρὸν (κάθαρον F; καθαίροντα interpretes, Mack) vulg. – προσθετὸν λευκὰ καθαῖρον C. – ἀρτεμισίην ποιεῖν αἴτρον (sic) κυκλ. C. – νίτρον D. — [4] ἄλλο P′. – ἕτερον om. DH. – τὰ αὐτὰ καθαίρει C. – τὰ α. κ. om. vulg. — [5] καὶ om. DP′. – περιελλίξας C. – τε om. C. – βρέξασα C. — [6] Ante ὅταν addunt περὶ χαλάσεως μήτρας· πρόσθετα παντοῖα καθαίρειν δυνάμενα DP′. – δὲ om. C. – χάνωσιν legit Cornar. – νίτρον κυκλάμινον ἡμίξηρον κύμινον ἀρτεμισίην ποίην σικύης ἐντεριώνην ἐν εἰρίω D. – σικυήση I. – ἐντεριόνην H. – ἐντεριώνης C. – προστίθει om. C. — [7] π. π. κ. δ. om. DP′. – προσθετὸν π. κ. δυνάμενον H. – προσθετὸν παντοῖα καθαῖρον sine δυν. C. – Ante στ. addunt ἢ D; ἀρτεμισίην ποίην ἢ Q′. – φυλλὰ, φλοιῷ τε πλάσας (φλοιοπλάσας sic C, H in marg.) vulg. – Les traducteurs, au lieu de φλοιῷ τε, lisent ἐν μέλιτι ἑφθῷ; avec raison; voyez

ties de fleur et une d'élatérion, délayer, y mêler du cyclamen broyé, suivant qu'on en jugera l'opportunité, faire des pessaires, et appliquer dans de la laine. Pessaire amenant une purgation blanche : armoise, nitre, cyclamen à demi sec, cumin. Autre, purgeant de même : armoise fraîche pilée, myrrhe un tiers, mêler du vin odorant, enrouler dans de la laine blanche, tremper dans du vin et donner à appliquer. Quand la matrice est relâchée, nitre, dedans d'une courge, cyclamen à demi sec, appliquer dans de la laine. Pessaires bons pour toute purgation : staphisaigre fraîche pilée, former une masse, feuilles d'armoise pilées, pétrir avec du miel cuit, sécher à l'ombre, faites des pessaires, et donnez à la femme pour qu'elle les applique. Autre : mêler de la fleur de cuivre ou de l'alun d'Égypte, délayer avec de l'eau de cyclamen, former, comme les précédents, dans du miel cuit ou dans une figue sèche, et ajouter un peu de myrrhe. Autre : piler du cyclamen, mêler du vin blanc de bonne odeur, attacher dans un linge propre très-fin, et donner à appliquer. Autre : cyclamen à demi sec, nitre, cantharides, graisse, sandaraque.

34. (*Menstruation ne s'établissant pas chez une jeune fille. Accidents.*) Des jeunes filles : quand chez une jeune fille la menstruation ne s'établit pas, elle souffre de la bile, a la fièvre, des douleurs, soif, faim, des vomissements, du délire et puis des retours de raison. La matrice se déplace; quand

un peu plus bas. - ποίει vulg. - ποιέει C. - τῇ γυν. om. C. — [8] ἅ. om. CIK. - ἑφθῷ μέλιτι (μ. ἑ. CH) vulg. - πλήσας CDFHJ. — [9] ἢ om. C. — [10] ἕτερον CHJK. - τρίψασα C. - τὴν λευκὴν (λευκῷ pro τὴν λευκὴν Cornar., Foes) οἴνῳ vulg. — [11] λεπτ. λίνῳ (οἴνω pro λίνῳ C) καθ. vulg. - λίνῳ ou οἴνῳ me paraissent tout à fait oiseux; καθαρῷ se rapporte évidemment à ῥάκει. — [12] ἕτερον H. - κυκλάμινος ἡμίξηρος C. - νίτρον D. - κανθαρίδας videtur meloe cichorei fuisse secundum Dœrfurt, neues Apothekerlexicon, p. 102. - σανδαράκη J. - σανδαράκης CDFH. — [13] π. π. om. CFHJK. - τὰ om. C. - γένηται, πολλὰ (χολᾶ pro π. C) καὶ πυρ. (πυρετταίνει F) vulg. — [14] καὶ διψῇ J. - πιεῖν pro πεινῇ C. - ἐξεμέει Mack. - ἐξεμῇ καὶ μαίνηται καὶ π. σωφρονῇ D. - μένεται F. — [15] μὲν C. - μὲν om. vulg. - ἐξεμέειν κ. π. κ. παραφρονέειν Mack. - ἐξεμεῖ καὶ πυρέσσει καὶ παραφρονεῖ sine αὐτῇ ἔρχεται C.

ραφρονεῖν αὐτῇ ἔρχεται· ὅταν [1] δὲ ἀπολίπωσιν, πεινῇ καὶ διψῇ, καὶ ἠπίαλος πυρετὸς ἔχει. Χρὴ [2] ταύτῃσιν ἀρνακίδας προστιθέναι θερμὰς πρὸς τὴν γαστέρα, καὶ ὑποκαπνίζειν ἐς αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα ἐπ' ἀμφορέως αὐχένι καθίσας· σμύρνης ὅσον κύαμον, [3] λιβανωτὸν δὶς ὅσον, τοῦτο μίξας καὶ ζέας ἐρηριγμένας, ὁμοῦ θυμιῆν, καὶ ἐπὶ τὸ πῦρ ἐπιβάλλων, νῆστις ὡς μάλιστα, καὶ λούειν πολλῷ θερμῷ.

35. [4] Προσθετόν· αἰγυπτίην στυπτηρίην μαλθακῷ εἰρίῳ περιειλήσασα προστιθέσθω. [5] Ἄλλο· ἀρτεμισίην τρίψας ἐν οἴνῳ τε λευκῷ δεύσας δίδου προστιθέναι.

36. Νεοτόκῳ [6] γυναικί· ῥόδινον, σμύρναν, κηρὸν μίξαντα ἐν εἰρίῳ δοῦναι προστίθεσθαι· ὅταν δέ οἱ προσπέσωσιν αἱ μῆτραι, τὰ ξηρὰ καὶ στρυφνὰ προσφέρειν καὶ πίνειν καὶ προσέχειν.

37. [7] Σῦκον μέλαν, σκόροδον, λίτρον, κύμινον, ταῦτα πάντα τρίψας λεῖα, ἐν εἰρίῳ δοῦναι προστίθεσθαι. [8] Ἕτερον· σηπίης ὄστρακον κόψας λεῖον, ἐς οἶνον δεύσας, ἐν λαγωοῦ θριξὶ καὶ εἰρίῳ προστίθεσθαι.

38. Ἢν [9] δὲ μετὰ τόκον τὰς ὑστέρας ἀλγέῃ, πτισάνην [10] καὶ πράσα καὶ στέαρ αἴγειον ἑψήσασα, ῥοφείτω τούτου ὡς ὀλίγιστον.

39. [11] Προσθετόν· λίτρον, κύμινον, σύκου τὸ ἴσον. [12] Καθαρτήριον προσθετὸν καὶ μαλθακτήριον· νέτωπον, ῥόδινον μύρον, χηνὸς ἄλειφαρ, ἐς ὀθόνια λεπτά.

[1] Δ' C. – ἀπολείπωσιν CDHJ. – ἤπαλος (sic) CFGI, Ald. – ἠπαλῶς Codd. ap. Foes. – πυρετὸς om. C. — [2] ταύτῃ (ταύτῃσιν C) γε (γε om. C) vulg. – τὴν C. – τὴν om. vulg. – ὑποκαπνίζεσθαι C. – ἐς om. C. – αὐτὰ om. D. – ἐπαμφερέως (sic) DFH. – ἀμφοτερέως J. — [3] λ. τε (τε om. C) δὶς vulg. – τοῦτο (τοσοῦτον C; ταῦτα Foes in not., Mack) μ. (μίξαντα C) καὶ ζέσας (ζέας C; ζειὰς Cornar., Mack) ἐρηριγμένας (ἐρηριγμένα Foes in not.; ἐρρηριγμένας C; ἐριρηγμένας HI, Frob.) vulg. — [4] ἄλλο προσθετὸν D. – προσθετὰ H. – ἕτερον pro πρ. J. – αἰγυπτίαν C. – μαλθακτικὴν DP'Q'. – μαλθακτὴν H, Mack. – μαλθακὴν vulg. – Je lis μαλθακῷ. – περιειλίσασα DFJ. — [5] ἕτερον K. – προσθετὸν pro ἄλλο C. – τρίψασα C. – δεύσασα προστιθέσθω C. — [6] Post γ. addit καθαρτήριον K. – ῥοδίνου C. – μίξας J. – δίδου H. – δὲ οἱ om. C. — [7] Ante σ. addunt καθαρτήριον HIJ, Codd. ap. Foes in not.; ἄλλο καθαρτήριον DP'Q'. – σκόρδον C. – πάντα om. C. – τρίψασα C. – προστιθέσθω pro δ. πρ. C. — [8] ἄλλο J. – ἕτερον om. H. – σιπύης F, Ald. – ἐς om. C. – οἶνόν τε (τε om. C) vulg. – σὺν

elle se tourne vers les viscères, alors surviennent les vomissements, la fièvre, le délire; et, quand elle revient à sa place, il y a faim, soif et fièvre épiale. Dans ce cas il faut prescrire des peaux de mouton chaudes sur le ventre, et des fumigations autant que possible dans les parties génitales, faisant asseoir la femme sur le col d'une amphore : myrrhe gros comme une fève, encens deux fois autant, épeautre moulu, mêler ensemble, et administrer en fumigation; on jette ces ingrédients sur le feu; la femme sera à jeun autant que possible; puis elle se lavera à l'eau chaude.

35. (*Pessaire.*) Pessaire : alun d'Égypte, enrouler dans de la laine molle, appliquer. Autre : armoise pilée, mouiller avec du vin et appliquer.

36. (*Pour une nouvelle accouchée. Chute de la matrice.*) Pour une nouvelle accouchée : huile de rose, myrrhe, cire, mêler, et donner à appliquer en pessaire dans de la laine; quand, chez elle, la matrice tombe, administrer les choses sèches et astringentes en boissons et en pessaires.

37. (*Pessaires.*) Figue noire, ail, nitre, cumin, bien broyer le tout, et donner à appliquer en pessaire dans de la laine. Autre : os de sèche pulvérisé, mouiller avec du vin, appliquer avec du poil de lièvre et de la laine.

38. (*Matrice douloureuse après l'accouchement; remède.*) Si après l'accouchement la matrice est douloureuse, la femme fera cuire de l'orge mondé, des poireaux et de la graisse de chèvre, et boira de ce potage en petite quantité.

39. (*Pessaire*) Pessaire : nitre, cumin, et autant en figue. Pessaire purgatif et émollient : nétopon, huile de rose, graisse d'oie, dans des linges fins.

(ἐν C) λ. vulg. — [9] δὲ om. C. – μ. τὸν τόκον P'. – τὰς om. C. – πτισσ. FH, Ald., Frob., Lind., Mack. — [10] καὶ om. DFGHIJKP'. – αἴγιον C. – ῥοφήτω D. – τοῦτο C. — [11] πρ. om. J. – πρ. ἄλλο D. – προσθετὰ H. – νίτρον DJ. – ν. κ. σ. τὸ ἴ. om. G. – καὶ σύκου ἐξ ἴσου DFHIKP'. — [12] προσθετὸν καθαρτικὸν D. – πρ. καθαρτήριον FH. – μέτωπον J. – ἄλειφα CFGHIJK. – ἐς om. C.

40. Ἢν τὰ ἐπιμήνια πολλὰ [1] γένηται, γλυκυσίδης κόκκους τοὺς μέλανας δὶς ἑπτὰ πίνειν ἐν οἴνῳ δυσὶ κυάθοις.

41. Ἢν [2] δὲ ἐξέρχωνται αἱ μῆτραι πυκνὰ, βρέξας ὕδατι χλιερῷ τὰς μήτρας, ὑπτίην ἀνακλίνας, μίξας σίδιον, κηκίδα, ῥοῦν τὴν ἐρυθρὴν, ἐν οἴνῳ λευκῷ διατρίψας, τούτῳ χρίσας, ἐντιθέναι· ἔπειτα πῖσαι δάφνης φύλλα ἐν οἴνῳ αὐστηρῷ.

42. Ὅταν γυνὴ κύουσα [3] προσρέηται, ὀνίδα ξηρὴν καὶ μίλτον καὶ ὄστρακον σηπίης τρίψασα λεῖα, ἐν ῥάκει ἀποδήσασα, προστιθέναι.

43. Ἢν [4] δὲ μὴ καθαρθῇ, ἐλατήριον ἐν οἴνῳ λευκῷ ὅσον κυάθῳ [5] τρίψας ὀβολὸν ἀττικὸν, διδόναι πίνειν, [6] καὶ καθαριεῖται.

[1] Γίγνηται C. – οὐ γένηται Calvus. – γίνεται HF, Ald. – γίνηται IJK. – οἴνου pro ἐν οἴνῳ C. — [2] δὲ om. C. – ἐξέρχονται vulg. – ἐξέρχωνται H. – ἐξίωσιν C. – πυκναὶ vulg. – πυκνὰ CDFHIJK. – ἐν ὕδατι J. – χλιαρῷ vulg. – χλιερῶ DFH. – κικίδας DFHJK. – κικίδα C, Ald. – λευκὴν pro ἐρυθρὴν J. – πίσσα pro πῖσαι C. — [3] ῥέηται C. – σιπίης C. – σιπύης FK, Ald. – ταῦτα (τ. om. DFHIJKP′) τρίψασα vulg. – ἀποδήσασα om. C. – Post προστιθέναι addit τὸ ὄστρακον C. — [4] δὲ om. C. – καθαρθῇ τὸ ὕστερον (τὸ ὕστ. om. C), λεᾶναι (ἐλατήριον pro λεᾶναι Cornar., Foes in not.) ἐν οἴνῳ vulg. – λευκῷ om. Mack. – κυάθω C. – κυάθου vulg. — [5] καὶ (καὶ om. C) τρίψας vulg. — [6] καὶ κ. om. G. – καθαίρεται vulg. – καθαριεῖται C. – C'est le futur de καθαρίζειν.

40. (*Pour l'abondance des règles.* Des Femmes stériles, § 245.) Si les règles deviennent abondantes, graines noires de pivoine deux fois sept, boire dans du vin à la dose de deux cyathes.

41. (*Chute de matrice; traitement.*) Si la matrice sort souvent, l'humecter avec de l'eau tiède, faire coucher la femme sur le dos, mêler écorce sèche de grenade, noix de galle, sumac rouge, broyer dans du vin blanc, oindre avec cette préparation, et remettre en place la matrice; puis faire boire une infusion de feuilles de laurier dans du vin astringent.

42. (*Pertes chez une femme grosse.* Des Femmes stériles, § 245.) Quand une femme grosse a des pertes, crottin sec d'âne, rubrique, os de sèche, broyer, lier dans un chiffon, appliquer en pessaire.

43. (*Absence de purgation chez une femme.*) Si la femme ne se purge pas, élatérion pilé à la dose d'une obole attique dans un cyathe de vin blanc, donner à boire, et elle se purgera.

FIN DU LIVRE DE LA SUPERFÉTATION.

ΠΕΡΙ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ.

DE L'EXCISION DU FOETUS.

ARGUMENT.

Cet opuscule ne contient rien qui ne soit déjà dans le livre des *Maladies des Femmes*. Cependant, en comparant les passages parallèles, on y trouve des différences, soit pour l'extraction du fœtus, soit pour la succussion de la femme en couche, pratique qui amena des accidents mortels chez une malade mentionnée, Épid., V, 103 et VII, 49, soit enfin pour l'opération tentée afin d'obtenir la cure de la chute de matrice (voy. p. 522 et 534). Ces différences font l'intérêt essentiel de l'opuscule; car elles montrent des remaniements, des essais variés de rédaction, nous font assister aux efforts de ces anciens auteurs, et aident aussi, par la comparaison, à comprendre plus complétement ce qu'ils décrivent.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2146 = C, 2254 = D, 2144 = F, 2141 = G, 2142 = H 2140 = I, 2143 = J, 2145 = K, Cod. Sever. ap. Foes = L, 2332 = X, Cod. Fevr. ap. Foes = Q'.

Nota. Dans les manuscrits D, F, G, H, I, J et K, le Περὶ ἐγκατατομῆς ἐμβρύου est deux fois; j'ai noté par D bis, F bis, G bis, H bis, I bis, J bis et K bis, le second texte de ces manuscrits.

ΠΕΡΙ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ[1].

1. [2]Περὶ δὲ τῶν μὴ κατὰ τρόπον κυϊσκομένων, ἀλλ' ἐγκατατεμνομένων οὕτως· πρῶτον μὲν ἐπὶ τὴν γυναῖκα σινδόνα ἐπιβαλὼν, [3]κατάζωσον ἀνωτέρω τῶν μαζῶν, καὶ τὴν κεφαλὴν κατακαλύψαι χρὴ τῇ σινδόνι, ὅκως μὴ ὁρῶσα φοβῆται ὅ τι ἂν ποιήσῃς. Ἢν οὖν ἐξίσχῃ τὴν χεῖρα [4] τὸ ἔμβρυον πλάγιον παραπεσὸν, τῆς χειρὸς ἐπιλαβόμενος προάγειν ἔξω ἐπιχείρει ὡς μάλιστα, [5]παραδεῖραι δὲ τὸν βραχίονα, καὶ ἀποψιλώσας τὸ ὀστέον, ἰχθύην [6] περίδησον περὶ τοὺς δακτύλους τῆς χειρὸς [7]τοὺς δύο, ὅκως μὴ ἀπολισθάνοι ἡ σάρξ· μετὰ δὲ ταῦτα τὸν ὦμον περισάρκισον καὶ ἄφελε [8]κατὰ τὸ ἄρθρον· ἔπειτα τὴν κεφαλὴν κατὰ φύσιν παρώσας, ὑπεξάγειν ἔξω τὴν κεφαλὴν τοῦ ἐμβρύου· [9]τῷ δὲ δακτύλῳ τὸ ἔμβρυον εἴσω ἀπῶσαι· ἢ μαχαιρίῳ διὰ τῶν πλευρέων ἢ διὰ τῆς κληῖδος, ὅκως τὴν [10]φῦσαν ἀφῇ καὶ ξυμπέσῃ τὸ ἔμβρυον καὶ ἡ ἔξοδος αὐτέῳ εὐπετεστέρη ᾖ· [11]τὴν δὲ κεφαλὴν, ἢν μὲν δύνῃσαι κατὰ φύσιν ἔξω ὦσαι· [12]ἢν δὲ μὴ, ξυμφλάσαι, καὶ οὕτως ὑπεξαγαγεῖν ἔξω τὸ ἔμβρυον. [13]Ἔπειτα θερμῷ πολλῷ καταχέας καὶ ἀλείψας ἐλαίῳ, κατακεῖσθαι κελεύειν ἐπαλλάξασαν τὼ πόδε,

[1] Le mot d'excision a été pris en ce sens dans le Dict. des Sciences médicales, t. XIX, p. 538. — [2] ἐγκατατομὴν παιδίου ποιήσεις οὕτως pro περὶ.... οὕτως D bis, F bis, G bis, H bis, I bis, (J bis, οὕτω) K bis (Q', ποίησον). - ἐγκατατομὴ παιδίου pro περὶ.... οὕτως C. - οὕτω J. - πρῶτα D bis, F bis, G bis, I bis, J bis, K bis. — [3] ἀνάζωσον (D, restit. al. manu) Q'. - ἀνώτερον C. - τοῦ μαζοῦ CDFGHIJK, Ald. - κατακαλεῖψαι C. - σινδόνη H. - ὅπως C. - φωβῆται C. - ποιέῃς D bis, F bis, G bis, H bis, I bis, J bis, K bis. - ποιῇς C. — [4] τὸ ἔ. (τὸ ἔ. om. C) παραπλάγιον (πλάγιον C, H bis) παραπέσον (παράπεσον GIJ, J bis, K; παραπεσὸν D bis, F bis, G bis, I bis, K bis, Lind.) καὶ (καὶ om. C, F bis, G bis, H, H bis) τῆς χ. ἐπ. (ἐπιλαμβανόμενος τῆς χ. C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis) (λαμβανόμενος Codd. Regg. ap. Foes; λαβόμενος J) vulg. - ἐπιχείρει om. C, D bis, F bis, G bis, H bis, I bis, J bis. — [5] π. δὲ καὶ (καὶ om. DIK) τὸν (καὶ παραδειρόμενος δὲ τὸν C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis) βρ. καὶ ἀποψ. αὐτοῦ (αὐτοῦ om. C; τῶν σαρκῶν pro αὐτοῦ D, D bis, F bis, G bis, H, H bis, I bis, J bis, K, K bis) τὸ vulg. - Gal. Gl. : ἰχθύην, ῥίνης θαλαττίας δέρμα ξηρόν· δύναται δὲ καὶ τὸν σιδηροῦν ὄνυχα δηλοῦν, ᾧπερ εἰς τὰς ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας χρώμεθα, διὰ τὴν πρὸς τὰς λεπίδας τῶν ἰχθύων ὁμοιότητα. - Pour la seconde

DE L'EXCISION DU FOETUS.

1. (*Embryotomie. Comp.* des Mal. des Femmes, § 70, *et* de la Superfétation, § 7.) Voici ce qu'il faut faire dans le cas où la conception n'a pas été régulière, mais où l'excision doit être pratiquée. D'abord mettez un linge autour de la femme, nouez-le au-dessus des mamelles, et jetez-le par dessus la tête de la patiente, afin qu'elle ne s'effraye pas, voyant ce que vous allez faire. Si le fœtus, se présentant de côté, sort le bras, saisissez ce bras, tirez-le au dehors autant que vous pourrez, dépouillez-le de ses chairs, mettez l'os à nu et attachez autour de deux doigts de la main une peau de chien de mer afin que la chair ne glisse pas; cela fait, dépouillez de chair l'épaule et désarticulez-la; puis, repoussant la tête du fœtus dans la position naturelle, amenez-la au dehors; avec le doigt on repousse le fœtus en dedans; sinon, on pratique avec le bistouri aux côtes ou à la clavicule un pertuis afin que l'air s'échappe, que l'enfant s'affaisse et que l'issue en soit plus facile. Quant à la tête, si vous pouvez la faire sortir naturellement, c'est bien; sinon, vous l'écraserez, et vous amènerez ainsi le fœtus. Ensuite vous ferez des affusions abondantes d'eau

explication donnée par Galien, voy. ὄνυχα dans le passage parallèle du livre de la Superfétation. - Érot. p. 186 : ἰχθύην, ῥίνημα ἢ πρίσμα. - Ce texte d'Érot. est altéré; il faut lire : ἰχθύην, ῥίνης δέρμα. — [6] περιδήσας C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis, Q'. - παρὰ DHK. - περὶ τοὺς δύο δακτύλους, sine τῆς χειρὸς, D bis, F bis, G bis, I bis, J bis, K bis. - τοὺς δακτύλους τοὺς δύο τῆς χειρὸς C. — [7] τῆς pro τοὺς J. - ἀπολισθαίνοι DHK. - ἀπολισθάνῃ G bis, J bis, K bis. — [8] περὶ D bis, H bis, I bis, J bis, K bis, Q'. - ὑπάγειν vulg. - ὑπεξάγειν D bis. - παιδίου D bis. — [9] τὸ pro τῷ H bis. - δὲ om. D bis. — [10] φύσσαν J bis. - In marg. φύσαν οἶμαι λέγει τὴν νῆδυν H. — [11] ἢν pro τὴν C. - δύνασαι vulg. - δύνησαι C. - ἔξελε pro ἔξω ὦσαι FHLQ'. — [12] εἰ C, J bis. - ξυμφλάσσαι H. - ξύμφλασσε DK. - ξύνθλασσε FGIJ. - συνθλάσαι Codd. ap. Foes. - ὑπεξάγειν C. - ἔξω om. FGL. — [13] ἐπ. τὸ (ἐν pro τὸ DFGIJK; τὸ om. D bis, F bis, G bis, H bis, I bis, J bis, K bis; τῷ C, Lind.) θερμῷ vulg. - ἀλείψασα D bis, F bis, H bis, I bis. - ἔλαιον DFGIJK. - ἐπαλλάξαντα CDFGHIJK. - ἐπαλλάξασα Codd. ap. Foes. - ποδὶ K bis.

καὶ [1] μεταπῖσαι οἶνον γλυκὺν καὶ λευκὸν κεράσας εὐζωρότερον, καὶ [2] ῥητίνην, μέλιτι διατρίψας, μίξας τῷ οἴνῳ, διδόναι πιεῖν· τὰ δ' ἄλλα θεραπεύειν ὥσπερ λεχὼ, κατὰ τὰ εἰρημένα.

2. Ὅταν δὲ τῇ τικτούσῃ γυναικὶ πλάγιον παραπέσῃ τὸ ἔμβρυον, [3] γίνεται δὲ ὁκόταν στρέφηται τοιόνδε, [4] ὁ ὀμφαλὸς περὶ τὸν τράχηλον περιελίσσεται καὶ ἐπίσχει τὴν ἔξοδον τοῦ ἐμβρύου, καὶ ἐς τὸ ἰσχίον [5] ἐπεμβάλλει τὴν κεφαλὴν, καὶ ἡ χεὶρ ὡς ἐπιτοπουλὺ ἔξω γίνεται. Ἢν μὲν οὖν ἤδη τεθνηκὸς ἔξω [6] γένηται, τοῦτο προσημαίνει· ἦσι δὲ μὴ ἔξω ἡ χεὶρ τοῦ ἐμβρύου, ὡς ἐπιτοπουλὺ ζῇ τὸ ἔμβρυον· κίνδυνος [7] δὲ καὶ οὕτως.

3. Ἔνιαι δὲ καὶ τὰ λόχια πρὸ τοῦ ἐμβρύου [8] ἀφιᾶσιν, ὥστε ἀναγκαῖον τὴν ὠδῖνα ξηρὰν εἶναι καὶ ἐπίπονον· [9] ὅσαι δὲ τὰ λόχια μὴ προκαθαίρονται, ῥᾷον ἀπαλλάττουσιν ἐν τῷ τόκῳ.

4. Ἀνασείειν δὲ [10] δεῖ ὧδε· σίνδονα ὑποστορέσαντα, ἀνακλῖναι τὴν γυναῖκα, καὶ [11] ἑτέρην ἐπιβαλεῖν ὅκως ἂν τὸ αἰδοῖον κεκρυμμένον ᾖ, καὶ περικαλύψαι [12] περὶ ἑκάτερον τὸ σκέλος τὴν σίνδονα καὶ περὶ ἑκάτερον τὸ γυῖον· γυναῖκας [13] δὲ δύο λαβέσθαι τοῦ σκέλεος ἑκα-

[1] Μεταπεῖσαι C. – γλυκὺν κεράσας εὐζωρότερον (εὔζωρότατον L) καὶ λευκὸν (καὶ λευκὸν κεράσας εὐζωρότερον D bis, F bis, G bis, H bis, I bis, J bis, K bis) ἀλλὰ μὴν (ἀλλὰ μὴν om. C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis) καὶ vulg. — [2] ῥιτ. FGI, Ald. – καὶ μίξας F bis, G bis, I bis, J bis, K bis. – δοῦναι C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis. – Ante πιεῖν addunt αὐτῇ D bis, F bis, G bis, H bis, I bis, J bis, K bis. – δὲ C. – ὥσπερ (ὡς D bis, F bis, G bis, H bis, I bis, J bis, K bis) (addunt νῦν FGJ) λέγω vulg. – Lisez λεχὼ au lieu de λέγω; voy. le passage qui justifie cette correction, des Mal. des Femmes, t. VIII, p. 340, l. 1. – προειρημένα J. — [3] συμβαίνει δὲ τοῦτο γίνεσθαι pro γίνεται δὲ DFGHIJKLQ'. – ὁπόταν C. – στρέφηται τὸ (τὸ om. C, D bis, F bis, G bis, I bis, J bis, K bis) τοιόνδε (τὸ τοιόνδε om. DFGHIJKLQ') vulg. — [4] καὶ (καὶ om. CD, D bis, F bis, G bis, H bis, I bis, J, J bis, K bis, LQ', Ald.) ὁ vulg. – περιελίσσηται vulg. – περιελίσσεται C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis, Q'. – ἐπίσχῃ vulg. – ἐπίσχει C, D bis, F bis, G bis, H bis, I bis, J bis, K bis. – ἐμβρίου F. — [5] ἐπεμβάλλῃ vulg. – ἐπεμβάλῃ DGHIJK. – ἐπεμβάλλει C, D bis, F bis, G bis, H bis, J bis, K bis. – ἐπεμβάλει (sic) I bis. – ἐπιτοπολὺ vulg. – ἐπιτοπουλὺ CD, D bis, H bis, J bis. — [6] γίνηται D, D bis, F, F bis, G, G bis, H bis, I, I bis, J, J bis, K bis, Ald. – προσημαίνειν C, D bis, F bis, H bis, I, I bis, K bis. – ἐμβρίου F. – ἐπιτοπολὺ vulg. – ἐπιτοπουλὺ CD, D bis, H bis, I bis, K bis. — [7] δὲ om. C, D bis, G bis, I bis, K bis. – οὗτος D bis. οὕτω J. – λοχία (bis) H. – λοχεῖα (bis) F bis, G bis, H bis, I bis, K bis. – πρὸ.... λόχια om. J bis. — [8] ἀφ. (ἀφιᾶσιν om. C, D restit. al. manu, FGHI

chaude, vous oindrez avec de l'huile, et vous prescrirez à la femme de demeurer couchée avec les jambes croisées et de prendre une potion composée de vin blanc doux pur et de résine concassée dans du miel. Du reste on la traite comme une femme en couche, suivant ce qui a été dit.

dissous et devint liquide ; car il n'y avait là ni gras ni glutineux ; et ce qui resta de trop devint tunique. Les choses s'étant passées ainsi pour tout ce qui est creux, là où il y avait plus de parties glutineuses que de parties grasses, la membrane est devenue tunique, et là où il y avait plus de parties grasses que de glutineuses, il s'est formé des os. Disons-en autant des os : Ceux qui n'avaient point de glutineux, mais qui étaient pourvus de parties grasses et froides, ont été brûlés plus promptement à cause de ces parties grasses, et ils sont devenus les plus durs et les plus solides des os. Là où le gras et le glutineux se correspondent, les os sont fistuleux. Voici comment : le froid condense ; le chaud raréfie, et, à la longue, dessèche ; quand il se trouve des parties grasses, il brûle et dessèche plus promptement ; au lieu que, si le glutineux est uni au froid sans le gras, il ne peut être brûlé ; mais, échauffé, il se condense avec le temps.

4. (*Le cerveau, formé de même. Il est la métropole du froid. La moëlle épinière en émane. Distinction de la moëlle épinière d'avec la moëlle des os. L'auteur soumet à la cuisson certains tissus pour les distinguer des autres. C'est un essai pour en reconnaître les caractères.*) Le cerveau est la métropole du froid et du glutineux. Le chaud est la métropole du gras ; car ce qui se fond tout d'abord par la chaleur, devient gras. Ainsi le cerveau, ayant très-peu de gras et beaucoup de glutineux, ne peut être brûlé par la chaleur, mais, avec le temps, il a formé autour de soi une membrane qui lui sert de tunique ; et autour de cette membrane, ce qui a été vaincu par le chaud et contenait des parties grasses, est devenu os. La moëlle appelée dorsale provient du cerveau ; et il n'y a en elle ni beaucoup de parties grasses ni beaucoup de parties glutineuses, non autrement qu'au cerveau. C'est donc à tort qu'on lui donne le nom de moëlle. Elle n'est pas semblable à la moëlle des os.

— [12] ὁμοίως vulg. – Lisez ὅμοιος, se rapportant à μυελός. — [13] ἐνῇ vulg. – C'est ἔνι qu'il faut lire. L'iotacisme est cause de la confusion fréquente entre ἐνῇ et ἔνι.

σαφέα, εἴ τις ἐθέλοι ὀπτᾷν νευρώδεά τε καὶ κολλώδεα, καὶ τὰ ἄλλα [1]δέ· τὰ μὲν ἄλλα ταχὺ ὀπτᾶται, τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα οὐκ ἐθέλει ὀπτᾶσθαι· ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ· τὸ δὲ [2]πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται.

5. Τὰ δὲ σπλάγχνα ὧδέ μοι [3]δοκέει ξυστῆναι· περὶ μὲν οὖν τῶν φλεβῶν εἴρηταί μοι πρότερον· ἡ δὲ καρδίη [4]πουλὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει· καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον, καὶ [5]μήνιγξ περὶ αὐτὴν, καὶ ἐκοιλώθη [6]οὐχ ὥσπερ φλέβες, καί ἐστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. Δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης· τῇ μὲν οὔνομα [7]ἀρτηρίη· τῇ δὲ κοίλη φλὲψ, πρὸς ᾗ ἡ καρδίη ἐστίν· καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ [8]καρδίη, ᾗ ἡ κοίλη φλέψ, καὶ ταμιεύει τὸ πνεῦμα. Πρὸς δὲ [9]τούτοιν τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα· ἡ δὲ κοιλοτάτη φλέψ, πρὸς ᾗ ἡ [10]καρδίη, διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν, καὶ σχίζεται ἐς [11]ἑκάτερον τῶν νεφρῶν· καὶ ἐπὶ τῇ ὀσφυῒ σχίζεται, καὶ αἴσσει ἐπί τε τὰ ἄλλα καὶ ἐς ἑκάτερον σκέλος, ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερά· καὶ τότε ἐπὶ τὴν κεφαλὴν ἄγει καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρη. Ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας· ἑνὶ δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς καὶ ἀπὸ τῆς ἀρτηρίης [12]αἱ ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα· κοιλόταται [13]δὲ αἱ πρὸς τῇ καρδίῃ καὶ τῷ αὐχένι καὶ ἐν τῇ κεφαλῇ καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων.

[1] Καὶ pro δὲ Zwing., Lind. - δὲ om. Mack. — [2] πιώτατον CE, Frob., Zwing., Lind., Mack. - παχύτατον legisse videtur Calvus. — [3] δοκέοι C. — [4] πολὺ C. — [5] μῆνιγξ vulg. - μήνιγξ Mack. — [6] [ἀλλ'] οὐχ Lind. — [7] ἀρτήρία Lind. - ἡ om. dans Kühn, par une faute d'impression. — [8] καρδίη C. - ἀρτηρίη pro καρδίη vulg. - C'est καρδίη qu'il faut lire. L'auteur dit plus bas que le cœur, ainsi que les veines, ont, de toutes les parties du corps humain, le plus de chaleur. - ἡ vulg. - Je lis ᾗ. La même raison qui me fait prendre καρδίη au lieu de ἀρτηρίη, me fait aussi lire ᾗ au lieu de ἡ. - οἱ pro ἡ C. — [9] ταύταιν ταῖν Lind. (Mack, τούταιν sic). - C'est un duel masculin avec un féminin : faut-il l'effacer avec Lind.? Dans le fait le féminin est p. 604, l. 22. — [10] καρδίη, καὶ διὰ τῶν φρενῶν καὶ διὰ τῆς κοιλίης ἁπάσης διήκει Mack. - La phrase est ainsi mieux arrangée, puisque la veine, avant de traverser le ventre entier, traverse le diaphragme; mais on n'est pas pour cela autorisé à déranger les mots de leur place dans le

Seule, elle a des membranes; l'autre moëlle n'en a pas. On se convaincra de tout cela en faisant cuire des parties tendineuses et glutineuses et d'autres parties; les autres parties cuisent promptement; mais les parties tendineuses et glutineuses ne cuisent pas, car elles ont trop peu de gras. Or ce sont les choses grasses et onctueuses qui cuisent le plus vite.

5. (*Formation semblable du cœur. Deux veines partent du cœur, l'une appelée artère, l'autre veine cave. Distribution des veines dans le corps. Le cœur est le viscère le plus chaud; il attire l'air et le distribue aux autres parties.*) Voici, selon moi, l'origine des viscères (j'ai déjà parlé des veines) : Le cœur contient beaucoup de glutineux et de froid; échauffé par la chaleur, il est devenu une chaire dure et visqueuse; autour de lui s'est formée une membrane, et il a été creusé non comme les veines. Il est placé à l'origine de la veine la plus creuse. Deux veines caves sortent du cœur; l'une est appelée artère, l'autre veine cave, à laquelle le cœur est appliqué. Le cœur a le plus de chaleur là où est la veine cave, et il distribue l'air. Outre ces deux veines, il y en a d'autres dans le corps. Celle qui est la plus cave et à laquelle tient le cœur, traverse tout l'abdomen et les phrénes (*diaphragme*), et se partage à l'un et à l'autre rein. Aux lombes, elle se divise et se rend aux autres parties et aux deux membres inférieurs. De même, au-dessus du cœur, dans le col, les unes vont à droite, les autres à gauche. Elles se rendent à la tête et se partagent l'une et l'autre dans les tempes. Il est facile d'énumérer les plus grandes veines; et on peut dire en un seul mot que toutes les veines distribuées dans tout le corps proviennent de la veine cave et de l'artère. Les plus grosses sont près du cœur, au col et à la tête, et, au-dessous du cœur, jusqu'aux hanches.

texte. — [11] ἑκάτερον τούτου τῶν νεφρῶν C. - ὀσφύϊ E. — [12] αἱ C. - αἱ om. vulg. - ἐσχισμέναι C, Ald., Frob. - ἐσχιμμέναι vulg. — [13] δὲ CE, Ald., Frob., Zwing. - γὰρ vulg. - γὰρ a été introduit par Foes; mais ce ne peut être que par inadvertance; car les manuscrits et les anciennes éditions ont toutes δέ. - ἐν C. - ἐν om. vulg.

6. Καὶ τὸ θερμὸν πλεῖστον [1]ἔνι τῇσι φλεψὶ καὶ τῇ καρδίῃ, καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. Ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι [2]τρέφον ἐστὶ τὸ πνεῦμα· ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ, [3]καὶ τὸ θερμότατον πλεῖστον ἐν τῇσι φλεψίν· καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἕλκει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. Ἔστι δὲ καὶ ἄλλως γνῶναι· πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι ὁκόταν ἄνεμος [4]μὴ εἰσπνέῃ, φλὸξ κινέεται τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον· καὶ [5]λυχνὸς καιόμενος τὸν αὐτὸν τρόπον κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον, ἀνέμου οὐδενὸς κινέοντος, ὅν τινα καὶ ἡμεῖς οἷοί τέ ἐσμεν γινώσκειν πνέοντα· καὶ τροφή ἐστι τῷ θερμῷ τὸ ψυχρόν. Τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ [6]συνέχον τὰ χείλεα μύζει ἐκ τῶν μητρέων τῆς μητρὸς καὶ ἕλκει τήν τε τροφὴν καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω· [7]τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, ὅταν περ ἡ μήτηρ ἀναπνέῃ· [8]τούτῳ δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν καὶ τοῖς ἄλλοις πᾶσιν. Εἰ δέ τις [9]ἐρωτοίη πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ [10]μύζει, τάδε αὐτῷ ἔστιν ἀποκρίνασθαι· κόπρον [11]ἔχον

[1] Ἐνῆ (ἐνῆ om. Lind., Mack) (addunt ἐν C, Ald., Zwing., Lind., Mack) τῇσι vulg. – Lisez ἔνι comme plus haut. — [2] θερμὸν vulg. – θερμὸν ne me paraît avoir ici aucun sens. De ce que le cœur, qui est chaud, a de l'air, comment s'ensuivrait-il, comment connaîtrait-on par là que l'air est chaud? tout au plus, pourrait-on dire que l'air s'y échauffe. Mais le contexte indique autre chose. Voici la suite du raisonnement : Le cœur et les veines se meuvent toujours, et elles ont le plus de chaleur; c'est pour cela que le cœur attire l'air; ainsi le cœur attire, en vertu de sa chaleur, l'air, qui doit avoir une propriété convenable, nutritive, par exemple, et non pas chaude, comme le dit le texte de vulg. En second lieu, l'auteur emploie une comparaison : une flamme se meut constamment, bien qu'il n'y ait pas un souffle d'air; cela prouve que l'air, même sans que nous le voyons, y afflue et la nourrit; car, dit-il, le froid est l'aliment du chaud. Ainsi, d'après l'auteur, la flamme et le cœur comme la flamme sont alimentés, en tant que chauds, par l'air. Je lis donc τρέφον au lieu de θερμόν. Et il ne faut pas croire qu'il y ait contradiction avec τοῦτο (τὸ πνεῦμα) θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, l. 13; car l'addition ὅταν περ ἡ μήτηρ ἀναπνέῃ, indique qu'il s'agit d'air échauffé dans le cœur de la mère. — [3] καὶ.... ἀνθρώπῳ om. Lind. – πλεῖστον ἔνι (ἔνι om. C) ἐν vulg. – ἔχει pro ἕλκει, quod fuit rescriptum eadem manu C. — [4] πνέῃ pro μὴ εἰσπνέῃ C. – ἔστιν pro εἰσπνέῃ Ald. — [5] αὐχμὸς C, Ald. — [6] συνέχοντα pro συνέχον τὰ C, Ald. – μυζεῖ C. – τε om. C. — [7] τὸ pro τοῦτο C. — [8] τούτω

6. (*Le cœur et les veines se meuvent continuellement et attirent l'air. Comparaison du cœur avec un feu allumé ou une flamme, qui attirent le souffle, même sans qu'aucun vent se fasse sentir. L'enfant, dans la matrice, attire l'air qui lui vient des vaisseaux de la mère. Ce qui prouve que l'enfant suce dans la matrice, c'est qu'il naît avec des excréments dans les intestins; puis, ajoute l'auteur, comment saurait-il téter et prendrait-il aussitôt après la naissance le mamelon, s'il n'avait pas dans la matrice fait apprentissage de la succion? Cette dernière raison, qui avait été donnée aussi par Démocrite, est au moins singulière.*) La plus grande chaleur est dans les veines et dans le cœur; c'est pourquoi le cœur, qui est la partie la plus chaude de l'homme, a de l'air. On se convainc facilement que l'air est ce qui l'alimente : Le cœur et les veines caves se meuvent continuellement, et ces veines contiennent le plus de chaleur; voilà la raison pour laquelle le cœur, qui est la partie la plus chaude dans l'homme, attire l'air. En voici encore une autre preuve : qu'on allume du feu dans une maison où nul vent ne se fait sentir, la flamme se meut tantôt plus tantôt moins; une lampe allumée se meut de la même façon, tantôt plus, tantôt moins, sans qu'elle soit agitée par aucun vent dont nous soyons capables de percevoir le souffle. Ajoutez que le froid sert d'aliment au chaud. L'enfant, dans le ventre maternel, ayant les lèvres continuellement rapprochées, suce la matrice et tire l'aliment et l'air dans le dedans du cœur, car cet air est très-chaud chez l'enfant, autant du moins que respire la mère; or, le chaud donne le mouvement à l'air et au corps, ainsi qu'à tout le reste. Si l'on demande comment l'on s'est convaincu que l'enfant dans la matrice suce et attire, on répondra ceci : l'enfant naît ayant des matières excrémen-

C. - τοῦτο vulg. — [9] ἐρωτώη Kühn. - Les manuscrits et toutes les éditions ont ἐρωτοίη; et Kühn a eu tort de le corriger en ἐρωτώη; car c'est effacer un ionisme, les Ioniens disant aussi ἐρωτέω; voy. Matthiæ, Gramm., § 10, 1, et § 167, 4. — [10] μυζεῖ C. - αὐτὸν C, Ald. — [11] ἔχοντα vulg. - Il faut évidemment lire ἔχον. - γίγνεται Lind.

ἐν τοῖσιν ἐντέροισι γίνεται, καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα, καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα· καίτοι οὐκ ἂν εἶχε [1] κόπρον, εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν, οὐδ' ἂν θηλάζειν τὸν μασθὸν [2] ἠπίστατο γεννώμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. Καὶ περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει.

7. Ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε· τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον, ἡ καρδίη θερμαίνουσα ταχὺ ἐξήρανεν ὅκως περ ἀφρὸν, καὶ ἐποίησε σηραγγῶδες, καὶ φλέβια πολλὰ ἐν αὐτέῳ. Διὰ δὲ τοῦτο ἐποίησε τὰ φλέβια· ὁκόσον ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν, τοῦτο μὲν [3] ὑπὸ τοῦ θερμοῦ διετάκη καὶ ἐγένετο ὑγρόν· τὸ δὲ ἀπὸ τοῦ κολλώδεος αὐτὸς ὁ χιτών.

8. Τὸ δὲ ἧπαρ ὧδε ξυνέστη· [4] ξὺν τῷ θερμῷ πουλὺ τοῦ ὑγροῦ ἀποληφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ, ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ, καὶ ἐπάγη. [5] Τεκμήριον δέ μοι τόδε· ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστι τὸ αἷμα· ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη· ἢν δέ τις αὐτὸ [6] τινάσσῃ, οὐ πήγνυται· αἱ γὰρ ἶνές εἰσι ψυχραὶ καὶ κολλώδεες.

9. Ὁ δὲ σπλὴν [7] συνέστη ὧδε· σὺν τῷ θερμῷ καὶ κολλώδει καὶ τοῦ θερμοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον, τοσοῦτον μόνον ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτὸ, ὅ εἰσιν αἱ ἶνες αἱ ἐνοῦσαι ἐν τῷ σπληνί· καὶ διὰ τὰς [8] ἶνας ταύτας μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης. Οἱ δὲ νεφροὶ [9] ξυνέστησαν ὧδε· ὀλίγον τοῦ κολλώδεος, τοῦ θερμοῦ [10] ὀλίγον,

[1] Κόπρου Ald. – Cette leçon serait très-admissible. — [2] ἠπίστατο E, Frob. – γενόμενον C. – εἰ om. Ald. – εἰ δὲ μὴ C. – Δημόκριτος, τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος τρέφεσθαι· ὅθεν εὐθέως γεννηθὲν ἐπὶ τὸν μαστὸν φέρεται τῷ στόματι· εἶναι γὰρ ἐν τῇ μήτρᾳ θηλάς τινας καὶ στόματα, δι' ὧν τρέφονται Plut. de Plac. phil. V, 16. – Μαρτύριον δὲ τοῦ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν, τὸ ἅμα τῷ τεχθῆναι τὴν ὁρμὴν πρὸς τὸν μαστὸν ἔχειν· οὐ γὰρ μὴ προεθισθὲν χρῆσθαι τῇ ὁδῷ.... Gal., an Anim. quod in utero, Cap. 3, t. 19, p. 167. — [3] ἀπὸ Ald. — [4] σὺν Mack. – ἀπολειφθὲν, erat prius ὑπολειφθὲν C. – ἀποκλεισθὲν Lind., Mack. — [5] τεμήριον (sic) Ald. — [6] τινάσσει vulg. – Lisez τινάσσῃ. On peut dire que la règle, dans la Collection hippocratique, c'est ἢν avec le subjonctif, tant les exceptions sont rares. Et ici, avec deux manuscrits seulement, l'exception ne peut être admise. – ἶνες CE, Ald., Frob., Lind. — [7] ξυνέστη Lind., Mack. – ξὺν Lind. – τὸ θερμὸν pro τοῦ θερμοῦ C. – Ce qui empêche de recevoir cette leçon, d'ailleurs correcte, c'est le parallélisme avec τοῦ δὲ ψυχροῦ ἐλάχιστον. – τοσοῦτο C. – ἶνες αἱ om. dans Kühn, par une faute d'impression. –

tielles dans l'intestin, et il les rend aussitôt qu'il vient au monde, les hommes comme les animaux; or, il n'aurait pas de matières excrémentielles s'il n'avait sucé dans la matrice, et, à la naissance, il ne saurait prendre tout d'abord le mamelon, si, dans l'utérus, il n'avait usé de la succion. Voilà ce qui en est du mouvement du cœur et des veines.

7. (*Formation du poumon.*) Le poumon s'est formé à côté du cœur de cette façon : le cœur, échauffant la partie de l'humeur qui était la plus glutineuse, l'eut bientôt desséchée en forme d'écume, la fit spongieuse et la remplit de petites veines. Ces veines furent produites par ceci : tout ce qu'il y avait de froid dans le glutineux fut dissous et devint liquide; quant au glutineux même, il devint tunique.

8. (*Formation du foie. L'auteur avait observé que, si on bat le sang sorti du corps, il ne se coagule pas.*) Le foie s'est formé ainsi : beaucoup d'humide ayant été intercepté avec le chaud sans le glutineux et le gras, le froid triompha du chaud, et l'organe se consolida. En voici une preuve : lorsqu'on tue une victime, le sang, tant qu'il est chaud, est fluide, et il se coagule quand il se refroidit. Si on l'agite, il ne se coagule pas; car les fibres sont froides et glutineuses.

9. (*Formation de la rate, des reins et des chairs. Le froid a la vertu de coaguler. L'auteur remarque que le sang, tant qu'il est chaud, ne se prend pas, mais que, dès qu'il se refroidit, une pellicule se forme. Il en conclut que la peau même du corps a été formée par l'action de l'air ambiant et des vents. On reconnaît là en germe la doctrine de physiologistes qui sont bien postérieurs.*) La rate s'est formée ainsi avec le chaud et le glutineux, beaucoup de chaud, mais très-peu de froid, seulement ce qu'il en fallait pour coaguler le glutineux même, qui constitue les fibres de la rate. Ce sont ces fibres qui rendent la rate molle et filamenteuse. Les reins se sont formés ainsi : peu de

ἶνες CE, Ald., Frob., Lind., Mack. – ἐνεοῦσαι Zwing., Lind., Mack. — [8] ἶνας CE, Ald., Frob., Zwing.. Lind., Mack. — [9] ξυνέστησεν Ald. — [10] πλεῖστον pro ὀλίγον C. – πολὺ C.

τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου, καὶ ἐγένετο σκληρότατον τὸ σπλάγχνον καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. Ὁ δὲ [1] αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν · τὸ μὲν ψυχρὸν ἔστησε καὶ ξυνέπηξε καὶ ἐποίησε σάρκα, τὸ δὲ κολλῶδες τρῶγλαι ἐγένοντο· ἐν δὲ τῇσι [2] τρώγλῃσι ταύτῃσι τὸ ὑγρὸν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶ τῇσι μεγάλῃσιν. Τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, [3] πλεῖστον δὲ τοῦ ὑγροῦ ἐν τῷ σώματι, [4] καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ· τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν· ἀλλὰ νενίκηται, ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. Ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ [5] ὅτι θερμόν ἐστιν, εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκου ἐθέλοι· ῥεύσει τε αἷμα θερμὸν, καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται · ἐπειδὰν δὲ ψυχθῇ ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ καὶ τοῦ ἐκτὸς, ἐγένετο δέρμα καὶ ὑμὴν, καὶ εἴ [6] τις ἀφελὼν τοῦτο τὸ δέρμα ἐάσειεν ὀλίγου χρόνου, ὄψεται ἄλλο δέρμα γινόμενον · εἰ δέ τις τοῦτο [7] αἰεὶ ἀφαιρεῖ, ἄλλο δέρμα γίνοιτ' ἂν πρὸς τοῦ ψυχροῦ. Τούτου δὲ εἵνεκα πλείω ἔλεξα, τέως ἀποδείξω ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τοῦ ἠέρος ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ καὶ τῶν πνευμάτων προσβαλλόντων.

10. Τὰ δὲ ἄρθρα ὧδε ἐγένετο · ὅτε τὰ ὀστέα ξυνίστατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ [8] προτέρῳ λόγῳ · ὁκόσον δ' αὐτέων κολλῶδες ἦν, τοῦτο [9] δὲ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποληφθὲν τοῦ καιομένου [10] καὶ ξηραινομένου ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο · [11] τὸ δὲ σία-

[1] Ὡυτὸς vulg. – ὠυτὸς Lind. – ἑωυτὸς (sic) C. – Les grammairiens disent que ὠὐτὸς pour le simple αὐτὸς n'est pas une forme véritablement ionienne. A la vérité ici un de nos deux manuscrits et les anciennes éditions ont ὠυτός; mais ce n'est pas assez d'autorité pour défendre ὠὐτός; d'autant plus que ce mot se trouve, p. 588, l. 5, bien employé; ce qui a pu favoriser ici l'erreur des copistes. Je crois donc qu'il faut rétablir simplement αὐτός. On peut d'autant moins songer à une forme récente d'un faux ionisme que dans ce traité δὲ est presque constamment employé pour δή; ce qui est propre aux anciens. – ψυχρὸν δ' ἔστησε Mack. – συνέπηξε E. — [2] τρώγλοισι vulg. – τρώγλῃσι C, Zwing., Lind., Mack. — [3] πλεῖστον δὲ τῷ σώματι vulg. – πλεῖστον δὲ τοῦ ὑγροῦ ἐν τῷ σώματι Calvus. – πλεῖστον δὲ καὶ τοῦ ὑγροῦ ἐν τῷ σώματι Zwing. in marg., Lind., Mack. – Cette addition de τοῦ ὑγροῦ ἐν est nécessaire. D'ailleurs on peut regarder Calvus comme équivalent presque à un manuscrit. — [4] καὶ.... ὑγρῷ om. Calvus. – τοῦτο

glutineux, peu de chaud et beaucoup de froid, ce qui produisit la coagulation; et ce viscère est devenu le plus dur et le moins rouge, à cause que beaucoup de chaud ne s'est pas réuni à sa composition. Il faut en dire autant des chairs : le froid a dressé et coagulé, faisant ainsi la chair; le glutineux est devenu des canaux, et dans ces canaux est le liquide comme dans les grandes veines. Le chaud est répandu par tout le corps, mais dans le corps il y a le plus d'humide, et dans l'humide beaucoup de froid; il y en a autant qu'il en faut pour coaguler l'humide; mais il est vaincu, de sorte que le chaud le dissout. On montrera que l'humide est chaud en rappelant que, si on incise le corps de l'homme où que ce soit, il en coulera du sang chaud, qui sera fluide tant qu'il conservera sa chaleur; mais, quand le froid, tant celui qu'il possède que celui qui vient du dehors, aura agi, il se formera une peau, une membrane. Si, enlevant cette peau, vous le laissez en repos quelque temps, vous en verrez une autre se produire; et autant de fois vous l'enlèverez, autant de fois il en naîtra une autre par l'effet du froid. Je me suis étendu sur ce sujet afin de montrer que l'extérieur du corps exposé à l'air, a dû nécessairement devenir peau par l'effet du froid et des vents qui l'assaillent.

10. (*Formation des articulations. Synovie.*) Les articulations se sont formées ainsi : quand les os se réunirent, les parties grasses qu'ils contenaient furent promptement consumées, comme il a été dit plus haut, mais les parties glutineuses ne purent pas l'être, et, interceptées au milieu de ce qui était brûlé et desséché, elles furent transformées par le chaud en

pro τοσοῦτο C. – Ante δύναται addit οὐ Zwing. in Marg. — [5] ὅ τι Mack. – ἤ pro εἰ C. — [6] τι Zwing — [7] ἀεὶ dans Kühn, par une faute d'impression. — [8] περὶ φύσιος παιδίου pro προτέρῳ λόγῳ EP'. — [9] δὴ Lind., Mack. – ἀπολειφθὲν C. – ἀποκλεισθὲν Lind., Mack. — [10] καὶ Interpp., Zwing. in marg., Lind., Mack. – καὶ om. vulg. – Ce καὶ est évidemment nécessaire. — [11] τὸ δὲ σίαλον om. Lind. – La suppression faite par Lind. est inutile. Il faut regarder τὸ δὲ σίαλον comme un nominatif absolu; genre de construction dont il y a plus d'un exemple dans ce traité. – ὁκόσον δὲ τοῦ Lind.

λον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν, [1]τόδε θερμαινόμενον παχύτερον ἐγένετο ὑγρὸν ἐόν· καὶ ἀπὸ τούτου σίαλον ἐγένετο.

11. Οἱ δὲ ὄνυχες ἀπὸ τουτέου ἐγένοντο τοῦ κολλώδεος· ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον [2]αὐτέου ἀπιὸν κολλῶδες γίνεται, ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαυαινόμενον, [3]θύραζε ὄνυχες.

12. Οἱ δὲ ὀδόντες ὕστερον γίνονται διὰ τόδε· ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ [4]τοῖν γνάθοιν ἡ αὔξησις γίνεται· τοῦ κολλώδεος [5]καὶ τοῦ λιπαροῦ τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται, καὶ [6]γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔνεστι τοῦ ψυχροῦ. Καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης [7]τῆς ἐν τῇ μήτρῃ, καὶ, ἐπὴν γένηται, ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ· ἐπειδὰν δὲ οὗτοι [8]ἐκπέσωσιν ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, ἐκπίπτουσι δὲ [9]ἐπειδὰν ἑπτὰ ἔτεα ἔῃ τῆς πρώτης τροφῆς, ἔστι δὲ καὶ οἷς πρότερον, [10]ἢν ἀπὸ νοσερῆς τροφῆς φύωσιν· [11]τοῖσι δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται· οἱ δὲ μεταφυέοντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ [12]νόσου διαφθαρῶσι.

13. Διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων· ἐν τῇ

[1]Τό γε Lind. — [2]αὐτέων Cornar. — [3]θύραζε, εἰς ὄνυχας vulg. - θύραζε ὄνυχες C, Ald. - Dans le texte de vulg., τὸ ὑγρότατον est le sujet, et κολλῶδες est l'attribut se construisant avec γίνεται; au contraire, dans le texte de C et d'Alde, que je suis, l'attribut se construisant avec γίνεται est ὄνυχες, et dès lors κολλῶδες appartient au sujet; ce qui permet de repousser la correction de Cornarius (αὐτέων) et de garder αὐτέου : *ce qu'il y a de plus humide dans le glutineux*. Αὐτέου ainsi employé est une locution connue. — [4]ταῖν Zwing. - Encore un article masculin au duel construit avec un substantif féminin. Voy. plus haut p. 590, l. 13. — [5]καὶ Calvus, Zwing. in marg., Lind., Mack. - καὶ om. vulg. - Ce καὶ peut être ajouté, même sans manuscrits. Cornarius et Foes rapportent τοῦ κολλώδεος à αὔξησις et τοῦ λιπαροῦ à τὸ ἐνεὸν, mettant un point après κολλώδεος. Pour moi, je rapporte τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ à τὸ ἐνεὸν, mettant un point après γίνεται. De cette façon, αὔξησις désigne non *la croissance du glutineux*, mais *la croissance des dents*. — [6]γίνεται Ald. - ἔστι vulg. - ἔνεστι C. — [7]τῆς C. - τῆς om. vulg. - Coray avait indiqué, Mus. Oxon. Consp. p. 5, cette correction, qui est justifiée par C. — [8]ἐπέσωσιν (sic) E. — [9]ἐπειδὰν ἐπὶ τὰ ἔτεα vulg. - Coray, ib. p. 5, propose de lire ἑπτὰ au lieu de ἐπὶ τὰ. Cette correction paraît de toute justesse. - εἴη vulg. - ἐπειδὰν gouvernant le subjonctif dans la Collection hippocratique, je lis ἔῃ au lieu de εἴη. Rien n'a été plus fréquent, dans cette Collection, que

nerfs (*ligaments*) et en synovie. Quant à la synovie, la partie la plus liquide du glutineux, échauffée, devint plus épaisse, tout en restant liquide, et de là provint la synovie.

11. (*Formation des ongles.*) Les ongles ont aussi été produits par ce glutineux, car ce qu'il y a de plus humide dans le glutineux s'écoulant sans cesse des os et des articulations, va, desséché et torréfié par le chaud, former les ongles au dehors.

12. (*Formation des dents.*) Les dents naissent les dernières pour ceci : la croissance s'en fait par les os de la tête et les mâchoires. Ce que ces os contiennent de glutineux et de gras, séché par le chaud, se consume, et les dents deviennent plus dures que les autres os parce qu'elles ne contiennent pas de froid. Les premières dents se forment par l'alimentation du fœtus dans la matrice et par l'allaitement de l'enfant après sa naissance. Le changement de la nourriture et des boissons les fait tomber ; la chute s'en opère lorsque sept années de la première alimentation se sont écoulées ; quelquefois même auparavant, quand elles proviennent d'une mauvaise nourriture ; pour la plupart, c'est à l'âge de sept ans ; celles qui leur succèdent vieillissent avec l'homme, à moins que quelque maladie ne les détruise.

13. (*Raison pour laquelle les dents naissent en dernier. L'au-*

la confusion entre ἔῃ et εἴῃ. — [10] ἦν C, Ald. - φύσωσιν vulg. - φύσωσιν, aoriste actif, a la signification transitive et ne peut rester ici, à côté de φύονται, l. 11. Il faut lire φυῶσιν aor. 2[e] subj., comme dans Platon, Resp. 10, p. 597, C ; voy. Matthiæ, liste des verbes irréguliers, au mot φύω. Φυῶσι peu connu a dû s'altérer presque nécessairement en φύσωσι. — [11] τοῖς vulg. - τοῖσι C. - μεταφύοντες vulg. - μεταφυέοντες C. - Schneider, dans son Dict., cite μεταφύειν au sens intransitif avec la seule autorité de ce passage, et il doute de la correction de la leçon ; mais, dans son Suppl., il la condamne absolument, proposant de lire μεταφύντες. Cette lecture est facile. Cependant faut-il la prendre en sacrifiant μεταφυέοντες, qui, lui, a un sens intransitif ? C'est déjà beaucoup que d'avoir ici un sens intransitif ; de plus je remarque que C est un manuscrit important ; et, comme il y a des exemples d'un φυέω en composition (*voy.* ὀδοντοφυέειν, *de la Dent.* §§ 8, 9, 11 et 12), et qu'une telle forme a pu se développer, sans barbarisme, d'un adjectif en φυής, εὐφυής, ἐμφυής, etc., ainsi que εὐτραφέειν de εὐτραφής, cela me détermine à prendre μεταφυέοντες. — [12] νούσου Lind. - διαφθείρωσι Ald.

γνάθῳ φλέβες εἰσὶ [1] τῇ κάτω κοῖλαι, καὶ μούνοισι τῶν ὀστέων αὗται τὴν τροφὴν παρέχουσι τῷ ὀστέῳ· τὰ δὲ ὀστέα τοιαύτην αὔξησιν ὁποῖά πέρ ἐστι, καὶ τὰ ἄλλα δὲ πάντα τοιαύτην ἀποδίδωσιν αὔξησιν, ὁποῖα αὐτά ἐστιν· καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος [2] καὶ τῶν ἐντέρων, εἰς ἃ συλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον· τὸ δὲ παχύτατον αὐτέου [3] καταλείπεται, καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω· τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν [4] ἄνωθεν τῆς νήστιος, θερμαινομένων τῶν σιτίων· ἐπὴν δὲ περήσῃ τὴν νῆστιν, ἐς τὰ κάτω ἔντερα ξυνεστράφῃ, καὶ κόπρος ἐγένετο· ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται [5] ἐς ἕκαστον, τοιαύτην ἀπέδωκε τὴν εἰδέην ἑκάστου ὁκοία περ ἦν· ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ κολλῶδες καὶ τὸ λιπαρὸν καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ ὀστέα καὶ τὰ ἄλλα ξύμπαντα ὁκόσα ἐν τῷ ἀνθρώπῳ [6] ἔνι. Διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται· εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέ-

[1] Καὶ ἐν τῇ κάτω κοιλίῃ (ἐκ τῆς κάτω κοιλίης Cornar., Mack) μούνοισι vulg. – Cette correction de Cornarius n'est pas suffisante; et, puisqu'il en faut une, on doit essayer de la rendre complète. Cornarius fait dire au passage que ces os sont les seuls qui reçoivent leur nourriture par une veine venant du ventre. Or, ce n'est pas cela que l'auteur entend; il entend expressément que ces os sont les seuls qui aient des veines en eux-mêmes : εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὐταὶ ἐν ἑωυταῖσι, l. dernière. Il faut donc lire : τῇ κάτω. Il est facile d'expliquer comment l'erreur s'est produite : τῇ κάτω, mal compris, a changé κοῖλαι en κοιλίῃ; cela fait, quelque correcteur a ajouté ἐν, déplaçant ou ajoutant un καί. La mâchoire inférieure reçoit en effet un vaisseau considérable; cela est vrai, mais ce qui ne l'est pas, c'est que ce soit le seul os qui en reçoive. — [2] καὶ L, Cornar., Zwing. in marg., Foes in not., Lind., Mack. – καὶ om. vulg. – Correction manifeste; voy. l. 8. – ξυλλέγεται Lind., Mack. — [3] κατασήπεται Cornar. — [4] ἄνωθεν [μᾶλλον] τῆς νήστιος Lind. — [5] ἐς C. – ἐς om. vulg. — [6] ἐνῇ vulg. – Lisez ἔνι. – Les traducteurs traduisent διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται, comme si c'était une formule de clôture, indiquant que l'explication qui montre pourquoi les dents poussent en dernier est terminée. Mais il n'en est rien; cette explication n'est pas finie; on n'a, pour s'en convaincre, qu'à lire le morceau. Il faut considérer la phrase comme une reprise : l'auteur commence par exposer comment la nourriture, absorbée par les veines dans les intestins, va s'approprier à chaque partie; mais, comme cela s'est un peu étendu et qu'il a perdu de vue son objet principal, il

teur a vu que l'os de la mâchoire reçoit des vaisseaux; mais il croit que c'est le seul os qui en reçoive. L'aliment puisé dans les intestins par les veines est apporté à chaque organe; et chaque organe, se l'appropriant, croît par un accroissement qui lui est homogène; en d'autres termes, dans l'os il se fait du tissu osseux, dans le muscle du tissu musculaire, etc. L'os de la mâchoire, pourvu d'une veine, produit quelque chose de plus que les autres os; et cela est les dents. Cet accroissement en plus se continue tant que l'homme croît; de là les dents de lait, les dents de sept ans, les dents de douze, les dents de sagesse.) Voici pourquoi les dents naissent postérieurement à tous les autres os : dans la mâchoire inférieure il y a des veines creuses; ce sont les seuls os qui reçoivent par des veines l'aliment; or les os croissent par un accroissement qui leur est semblable; et, de fait, toutes les autres parties du corps croissent par un accroissement qui leur est semblable. Les veines provenant du ventre et des intestins où se rassemblent les aliments et les boissons, y puisent, quand cela est échauffé, ce qu'il y a de plus ténu et de plus liquide; tandis que ce qu'il y a de plus épais reste et se transforme en excrément dans les intestins inférieurs. Les veines absorbent, dans le ventre et dans les intestins au-dessus du jéjunum, la partie la plus ténue des aliments échauffés qui, traversant le jéjunum, se rassemblent dans les intestins inférieurs et deviennent excrément. L'aliment, arrivé à chaque partie, y produit la forme de cette partie telle qu'elle était; car chaque chose, arrosée par l'aliment, s'accroît, le chaud, le froid, le glutineux, le gras, le doux, l'amer, les os, tout en un mot ce qui est dans le corps de l'homme. Je reviens à la raison pour laquelle les dents naissent en dernier : j'ai dit plus haut que les mâchoires, seules entre les os, renferment des veines dans leur intérieur;

indique qu'il y revient. Les mâchoires, ayant, seules entre tous les os, une veine, produisent aussi, tant que l'homme croît, quelque chose en plus, qui est les dents; et, comme l'homme croît jusqu'à sept, quatorze et vingt et un ans, les dents sont ce qui vient en dernier.

δας ἔχουσιν [1]αὐταὶ ἐν ἑωυταῖσι· καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα. Καὶ πλέονα τὴν τροφὴν ἔχοντα καὶ ἀθροωτέρην τὴν ἐπιῤῥοὴν, ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ' [2]ἑαυτέων τοιαύτην οἷά πέρ ἐστιν αὐτὰ, τέως ἂν περ καὶ ἄνθρωπος οὖλος αὐξάνηται. Αὐξάνεται δὲ ἐπὴν γένηται ἐπίδηλος· ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταετέος μέχρι [3]τεσσαρεσκαιδεκαετέος, καὶ ἐν τουτέῳ τῷ χρόνῳ οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν οἳ ἐγένοντο ἀπὸ [4]τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. Αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίνεται, μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων· καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, οὗτοι καλέονται [5]σωφρονιστῆρες.

14. Αἱ δὲ τρίχες φύονται ὧδε· ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τοῦ πέριξ κολλώδεος, ὅπως περ τοῖσι νεύροισι, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστιν· εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. Τάχα δὲ θαυμάσειεν ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ [6]ἐπισείῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι παντί [7]εἰσιν· ωὑτὸς λόγος περὶ τουτέου· ὅπου [8]τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ὂν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ.

15. Ἀκούει δὲ διὰ τόδε· τὰ τρήματα τῶν οὐάτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ· [9]τοῦτο δὲ, πέφυκε πρὸς [10]ὀστέον κοίλωσις σηραγγώδης· οἱ δὲ ψόφοι ἀπερείδονται πρὸς [11]τὸ σκληρόν· τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ· τὸ [12]δὲ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον, ξηρότατον τοῦ ἄλλου δέρματος. Τεκμήρια δὲ πολλὰ

[1] Αὗται vulg. - Lisez αὐταί. - ἑωυτέσι (sic) C. - ἑωυτῇσι Lind., Mack. — [2] ἑωυτέων Zwing., Lind., Mack. — [3] τεσσαρεσκαιδεκάταιος (sic) C. - τεσσαρεσκαιδεκαετέος L, Lind., Mack. - τεσσαρεσκαιδεκαταῖος vulg. — [4] τῆς om. C. — [5] σωφρονηστῆρες E, Ald., Frob. — [6] ἐπισχίῳ (sic) C, Ald. — [7] εἰσιν· οἷσιν (οἷσιν om. Ald) οὗτος (ὁ addit E) λόγος vulg. - Ald. nous fournit une bonne correction, supprimant οἷσιν, qui embarrasse la phrase et qui est né évidemment de la répétition, par iotacisme, de εἰσιν. Cela fait, le sens est clair; il faut, en place de οὗτος, lire ωὑτὸς, ou, ioniquement, ωὑτός; voy. p. 588, note 2. L'addition de ὁ dans E a été suggérée par la fausse leçon οὗτος, le correcteur ayant voulu suivre la syntaxe; c'est ainsi que les textes vont quelquefois jusqu'à se dénaturer singulièrement. — [8] τυγχάνοι C. - γίγνονται Lind. — [9] τοῦτο signifie ici *de plus*. Cette construction est fréquente dans le traité des *Articulations*; voy. par exemple τοῦτο

c'est pourquoi elles attirent plus de nourriture que les autres os. Ayant plus de nourriture et un afflux plus abondant, elles engendrent par elles-mêmes un accroissement qui est comme elles sont; et elles l'engendrent jusqu'à ce que l'homme ait crû tout entier. Il croît quand il est devenu formé, et il devient surtout formé de sept ans à quatorze; c'est dans cet intervalle que naissent les plus grosses dents et toutes celles qui remplacent les dents de la nourriture dans la matrice. Il croît aussi jusqu'à la troisième semaine où il devient jeune homme, et jusqu'à la quatrième et à la cinquième. Dans la quatrième semaine naissent chez la plupart des hommes deux dents dites de sagesse.

14. (*Formation des cheveux. L'explication est différente de celle qui est donnée dans l'opuscule* des Glandes, § 4.) Les cheveux poussent ainsi : ce sont les os et le cerveau qui les produisent, attendu qu'il n'y a pas, comme dans les nerfs, du glutineux placé à l'extérieur et du gras; car, s'il y avait des parties grasses, elles seraient consumées par le chaud. Mais peut-être on s'étonnera qu'il naisse des poils abondants aux aisselles, au pubis et sur tout le corps. Le raisonnement est le même : là où le corps renferme du glutineux, le chaud fait germer des poils.

15. (*Audition. On trouve rapportée l'opinion d'auteurs qui avaient écrit sur la nature et qui pensaient que c'était le cerveau qui, dans l'audition, résonnait.*) L'homme entend de cette façon : les conduits auditifs sont attenants à un os dur et sec comme la pierre; en outre, l'os est creusé d'une cavité fistuleuse. Les sons viennent se heurter contre ce corps dur; et l'os, qui est creux, retentit par sa dureté même. Dans le conduit auditif est fixée à l'os dur une membrane, ténue comme une toile d'araignée, la plus sèche de toutes les membranes. Il est beaucoup de preuves que les corps les plus durs

μὲν.... τοῦτο δὲ, § 10. — [10] ὀστέου Ald. — [11] τὸ om. Lind. - ἐπιχεῖ (sic) C, Ald. — [12] δὲ E. - δὲ om. vulg. - Ante ξηρότατον addunt καὶ Lind., Mack.

ὅτι ξηρότατον ἠχεῖ μάλιστα· ὅταν δὲ μέγιστον [1]ἠχήσῃ, τότε μάλιστα ἀκούομεν. Καί εἰσί τινες οἳ ἔλεξαν φύσιν ξυγγράφοντες ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων· τοῦτο δὲ οὐκ ἂν γένηται· αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι, καὶ [2]μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχείη, καὶ περὶ τὴν μήνιγγα ὀστέα· [3]οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά· τὰ δὲ ἠχέοντα ἀκοὴν ποιεῖ.

16. Ὀσφραίνεται [4]δ' ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν αὐτὸς τῶν ξηρῶν, ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων [5]ξηρῶν ἐόντων· προήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα· καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπίπροσθεν [6]ὀστέον οὐδὲν, ἀλλὰ χόνδριον μαλακὸν ὅκως περ σπόγγος, οὔτε κρέας οὔτε ὀστέον. Καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶσθαι τῶν [7]ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστιν· ὕδατος γὰρ οὐκ ὀδμᾶται· ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου, ἐὰν μὴ σαπῇ· σηπόμενον γὰρ τὸ ὕδωρ παχύτερον [8]γίνεται καὶ τὰ ἄλλα πάντα· ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες, οὐ [9]δύναται ὀσφραίνεσθαι· οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. Ταύτῃ δὲ καὶ ὅταν [10]ἀποτήκῃ ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερώην καὶ τὴν φάρυγγα καὶ τὸν πνεύμονα καὶ ἐς τὴν ἄλλην κοιλίην, γινώσκουσιν οἱ ἄνθρωποι καὶ φασὶ καταῤῥέειν ἐκ τῆς κεφαλῆς· καταῤῥέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα· [11]καί ἐστι τροπὴ τῷ θερμῷ.

17. Ὁρῇ δὲ διὰ τοῦτο· ἀπὸ τοῦ [12]ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου [13]ἑκάτερον· διὰ ταύταιν ταῖν φλεβοῖν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου· καὶ διὰ τοῦτο [14]αὐτὸ περὶ αὐτὸν δέρμα ποιέει τοιοῦτον

[1] Ἠχήσητο μάλιστα ἀκούωμεν vulg. – ἠχήσῃ, τότε μάλιστα ἀκούομεν Kühn. – Cette correction est excellente. — [2] μήνιγξ Mack. — [3] οὐδὲ Kühn, par une faute d'impression. – ποιέει Mack. — [4] δὲ Mack. – τῶν ξηρῶν αὐτὸς C, Ald. – σὺν Mack. — [5] ξηρῶν ἐόντων om. Cornar. – προσήκει Codd. quidd. ap. Foes in not. — [6] ὀστέων C, Ald. — [7] ξηρωτέρων Zwing. — [8] γίγνεται Lind. – τἄλλα E. — [9] δύνανται Foes in not., Lind. — [10] ἀποτίκτῃ CE. – ἀποτήκτῃ Ald., Frob. – ἀποτήκῃ est une correction de Foes; il l'a introduite dans son texte; ce qu'il fait bien rarement. Elle paraît tout à fait sûre. — [11] καὶ ἔστι τροπῷ (τρόπος Zwing.; τροπὴ C, Zwing. in marg., Lind.) τῷ θερμῷ vulg. – καὶ ἔστι τῷ τρόπῳ θερμὸς Cornar. – τροπὴ est la véritable leçon. — [12] ἐγγεφάλου (sic) C. — [13] ἑκατέρου Calvus. — [14] αὐτὸ περὶ αὐτὸ (αὐτὸν Cornar., Lind., Mack) (περὶ αὐτὸ om. Codd. quidd. ap. Foes in not.) δέρμα vulg. – La correction de Cornarius paraît bonne; elle est

résonnent le mieux ; or, plus les sons ont de force, mieux nous entendons. Quelques-uns qui ont écrit sur la nature ont prétendu que c'était le cerveau lui-même qui résonnait, ce qui est impossible ; car le cerveau est humide et entouré d'une membrane humide et épaisse, et autour de la membrane sont des os. Les corps liquides ne résonnent pas ; il n'y a que les corps secs ; or ce qui résonne est ce qui produit l'audition.

16. (*Olfaction. C'est par les voies nasales que le cerveau envoie les catarrhes sur les parties inférieures ; même théorie que dans l'opuscule* des Glandes ; *voy.* § 11.) Le cerveau, étant humide lui-même, sent les substances sèches, attirant l'odeur avec l'air à travers des tuyaux qui sont secs. Car il s'étend dans les cavités des narines ; de ce côté, aucun os ne lui oppose une barrière ; et il n'est borné que par un cartilage mou comme une éponge, et qui n'est ni chair ni os. C'est quand les cavités des narines sont sèches qu'il perçoit avec le plus d'exactitude l'odeur des substances sèches. Il ne sent pas l'eau, car elle est plus humide que le cerveau lui-même, à moins qu'elle ne soit putréfiée ; car l'eau, ainsi que tous les autres corps, s'épaissit en se corrompant. Mais quand les narines deviennent humides, elles perdent la faculté de sentir, le cerveau n'attirant plus l'air à lui. C'est par cette voie aussi que le cerveau, par lui-même, flue abondamment sur le palais, sur la gorge, sur le poumon et sur le ventre ; alors on reconnaît et on dit qu'il se fait un catarrhe de la tête ; il s'en fait aussi sur le reste du corps, et c'est une conversion pour le chaud.

17. (*Vision. L'auteur a vu souvent les humeurs de l'œil après la rupture de cet organe.*) La vision est ainsi : une veine partie de la membrane du cerveau se rend à chaque œil au travers de l'os. Par ces deux veines, ce qu'il y a de plus ténu dans le glutineux est filtré hors du cerveau, et, de cette façon, forme

très-plausible, les copistes ayant pu très-facilement se brouiller entre ces αὐτὸ et ces neutres.

[1]οἷόν πέρ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ [2]τὸ πρὸς τοῦ ἠέρος, πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. Πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα πρὸ τοῦ ὁρέοντος [3]διαφανέα, ὁκοῖόν περ αὐτό ἐστιν· τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγέει τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα· τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι· [4]ὅ τι δὲ μὴ λαμπρόν ἐστι μηδὲ ἀνταυγεῖ, τουτέῳ οὐχ ὁρῇ· τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν κρέας ἐστίν. Ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ [5]μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστὶ καὶ χιτῶνες περὶ [6]αὐτὸ εἰσὶ μέλανες· χιτῶνα δὲ καλέομεν τὸ ἐνεὸν ὥσπερ δέρμα· ἔστι δὲ οὐ [7]μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. [8]Τὸ δὲ ὑγρὸν κολλῶδες· πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ συῤῥαγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν κολλῶδες· κἢν μὲν ᾖ ἔτι θερμὸν, ὑγρόν ἐστιν· ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν ὥσπερ λιβανωτὸς διαφανής, καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. Τὸν δὲ ὀφθαλμὸν [9]ἀνιᾷ πᾶν ὅ τι ἂν ἐμπέσῃ, καὶ τὰ πνεύματα προσβάλλοντα, καὶ τὰ ἄλλα ὅσα λαμπρότερα [10]ἢ κατ' αὐτόν ἐστι, [11]καὶ εἴ τις ἐγχρίσει, διὰ τόδε, ὅτι ὁμόχροια ἔνυγρός ἐστιν, ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα καὶ ἡ ἄλλη κοιλίη ἔνυγρά ἐστιν.

18. Διαλέγεται [12]δὲ διὰ τὸ πνεῦμα ἕλκων ἔσω ἐς πᾶν τὸ σῶμα,

[1] Οἷόν περ (περ om. Mack) περὶ (περὶ om. Zwing. in marg.) αὐτὸ vulg. – Zwinger a indiqué à sa marge comment il faut corriger ce texte : περὶ doit être supprimé, ayant été introduit par les copistes à cause du voisinage de περ; genre de faute qui n'est pas rare. Voyez d'ailleurs un peu plus bas ὁκοῖόν περ αὐτό. — [2] τῶ C. — [3] διαφανέος vulg. – διαφανέως P'. – διαφανέα C, Ald. – αὐτῷ pro αὐτὸ C. — [4] ὅτι vulg. – ὅ τι Lind. – ἀνταυγῇ vulg. – ἀνταυγεῖ Foes in not. – ἀνταυγέει Lind., Mack. – La correction de Foes est évidente. – Au lieu de κρέας, Wallroth, Syntagma, p. 54, conjecture κέρας, *substance cornée*. — [5] μέλαινα L, Mack. — [6] αὐτὴν L. — [7] μέλαιναν Mack. — [8] ἔστι pro τὸ Lind. – ἐπισυρραγέντος E. – δεξιὸν pro ἐξιὸν Ald. – M. Andreæ, die Augenheilkunde des Hippocrates, p. 58, regarde comme certain que cette humeur glutineuse qui se coagule et qui ressemble à de l'encens, est le cristallin. Cette opinion me paraît certaine, à moi aussi. — [9] ἀνὰ pro ἀνιᾷ C. — [10] ἢ E. — [11] καὶ ἤν (εἰ C) τις ἐν κρίσει (ἐγκρίσει pro ἐν κρίσει Lind.; ἐκκρίσει Codd. ap. Foes in not., Mack; ἐρωτήσῃ legisse videtur Cornar.; ἐρωτήσει Zwing. in marg.) διὰ τόδε, ὅτι ὁμόχροια (addit ἔνυγρος Lind.) ἐστὶν ὥσπερ vulg. – Cornarius traduit : Et si quis interroget, respondere licet, propterea quod consimilis coloris existunt. La traduction de Zwinger est semblable. Foes a : Idque quis ideo fieri judicet, quod unius et ejusdem sint coloris. Cette phrase est très-altérée; et les efforts de restitution et de traduction n'ont pas été heureux. D'abord on s'est mépris sur le sens de ὁμόχροια, qui, dans la Collection

autour de l'œil une peau telle qu'est ce ténu même, c'est-à-dire forme le diaphane de l'œil, ce qui est exposé à l'air, ce qui reçoit le choc des vents, de la même manière que j'ai exposée pour les autres peaux. Ces tuniques, placées devant la portion voyante, sont multiples, diaphanes comme elle. Or, c'est dans ce diaphane que la lumière et toutes les choses brillantes se réfléchissent; et la vision s'opère par cette réflexion. Par ce qui n'est pas brillant et ne réfléchit pas, il n'est pas de vision. Le restant autour de l'œil est une chair blanche. La partie de l'œil dite pupille paraît noire parce qu'elle est située au fond et entourée de tuniques noires. Nous appelons tunique ce qui est dans l'œil comme une peau. Elle n'est pas noire à la vue, mais elle est incolore et diaphane. Le liquide de l'œil est glutineux, car souvent nous avons vu sortir un liquide glutineux hors d'un œil rompu; tant qu'il est chaud, il reste fluide; mais il devient, en se refroidissant, sec comme un morceau d'encens transparent (*le cristallin*, *voy. note* 8). Il est semblable chez les hommes et les animaux. L'œil souffre par tout ce qui entre dedans, par le vent qui le frappe, par ce qui est trop brillant pour lui, par les onctions qu'on y pratique; la raison, c'est que la surface en est humide, comme le sont la bouche, la langue et le reste du ventre.

18. (*Voix et parole. C'est l'air qui produit le son. L'auteur*

hippocratique, signifie, non pas similitude de couleur, mais surface, peau. Toutefois il faut distinguer Linden, qui a apporté un élément important de correction en introduisant ἔνυγρος; restitution qui paraît tout à fait sûre à cause du parallélisme : ὥσπερ.... ἔνυγρά ἐστιν. Je crois compléter cette excellente indication, en lisant, par un changement très-léger, ἐγχρίσει au lieu de ἐν χρίσει. Dès lors ce membre de phrase se lie avec ce qui précède, la construction devient possible, et cela signifie que toutes ces souffrances de l'œil, par les contacts quelconques, proviennent de ce que la surface en est humide; tandis que, si elle était sèche, comme l'est par exemple celle de la peau, ces contacts ne seraient pas douloureux. — [12] Post δὲ addit καὶ C. – ἕλκον Zwing. – ἕλκειν Zwing. in marg., Lind., Mack. – εἴσω πᾶν vulg. – On a changé ἕλκων en ἕλκον pour l'accorder avec σῶμα; mais je pense qu'on doit lire, au lieu de εἴσω πᾶν de vulg., ἔσω ἐς πᾶν, comme plus bas, p. 608, l. 20, ἔσω ἐς τὰ κοῖλα, et dès lors il n'y a rien à changer.

τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα [1] αὐτὸς ἑωυτῷ· αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ [2] τὸ κενὸν ψόφον ποιέει· ἡ κεφαλὴ γὰρ ἐπηχεῖ. Ἡ δὲ γλῶσσα ἀρθροῖ προσβάλλουσα· [3] ἐν τῷ φάρυγγι ἀποφράσσουσα καὶ προσβάλλουσα πρὸς τὴν ὑπερώην καὶ πρὸς τοὺς ὀδόντας ποιέει σαφηνίζειν· ἢν δὲ μὴ ἡ γλώσση ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, ἀλλ' [4] ἢ ἕκαστα φύσει τὰ μονόφωνα. Τεκμήριον δέ ἐστι τουτέῳ, οἱ κωφοὶ οἱ ἐκ γενεῆς [5] οὐκ ἐπίστανται διαλέγεσθαι, ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν, οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. Δῆλον δὲ τόδε· οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω ὠθέουσι θύραζε καὶ φθέγγονται μέγα ὡς [6] ἀντηχῇ τὸ πνεῦμα, ἔπειτα δὲ καταμαραίνεται τὸ φθέγμα· καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοῖς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω πουλὺ ἐκτείνουσι τὴν ἐκφορὰν καὶ φωνοῦσι καὶ φθέγγονται μέγα ὡς [7] ἀντηχῶσι τῷ πνεύματι, ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται· τουτέοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστι τὸ φθεγγόμενον. Εἶδον δὲ ἤδη οἳ, [8] σφάξαντες ἑωυτοὺς, ἀπέταμον τὸν φάρυγγα παντάπασιν· οὗτοι ζῶσι μὲν, φθέγγονται δὲ οὐδὲν, εἰ μή τις [9] συλλάβῃ τὸν φάρυγγα· οὗτοι δὲ φθέγγονται· δῆλον δὲ καὶ [10] τούτῳ, ὅτι τὸ πνεῦμα οὐ δύναται, διατετμημένου τοῦ λάρυγγος, ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνέει. Οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ [11] διαλέξιος.

19. [12] Ὁ δὲ αἰὼν ἐστι τοῦ ἀνθρώπου ἑπταήμερος. Πρῶτον μὲν

